P 31 *Κράνος, Κάρος, Πέλοψ, Νέρουας, Σιλβανός, Ἀπέλλης καὶ Κύρβος. ἱππεύοντος δὲ τοῦ βασιλέως, καὶ αὐτῶν ὁρώντων καὶ θαυμαζόντων, ἔφη ὁ βασιλεὺς "τί ὁρῶντες θαυμάζετε;" ἀποκριθεὶς δ' ἐκ τούτου ὁ Ἀπέλλης εἶπεν "θαυμάζομεν, ὦ βασιλεῦ, ὅτι τῶν Ὀλυμπίων ἀλλασσομένων ἵπποι γενήσονται ἀνθρώπων ἐπιβάται." Νέρουας ἔφη "κακὸν τῇ βασιλίδι τῶν πόλεων, ὅτι τῷ στοιχείῳ τῆς τύχης στοιχεῖον συντρέχει." Σιλβανὸς τὸ ὀκλάζον ζώδιον ἰδὼν ἔφη "τοῦτο δηλοῖ ὅτι ἔσονται καιροὶ ἀγόνατοι." ὁ δὲ Κύρβος καὶ πρὸς τὸν δῆμον ἰδὼν "ὦ δῆμε" ἔφη, "δι' οὗ δήμιοι περισσεύουσιν." ὁ δὲ Πέλοψ ἰδὼν τοὺς ὅρους τῶν ἵππων*

1 *ὁ δὲ Κράνος ἰδὼν τὸ γυμνὸν ἀνδροείκελον, περικεφάλαιαν τῇ κεφαλῇ περιφέρον, καὶ τὸν ὄνον ἔμπροσθεν, εἶπεν "ἕως πότε ὄνος ἄνθρωπος ἔσται; καὶ ὢ τῆς συμφορᾶς ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖν οὐκ αἰσχύνεται."* cod. aliquis Lamb. 5 *πυριχύτην* Reg. *πυριτύχην* Vat. 15 *ὅτι τὸ στοιχεῖον τοῖς στοιχείοις συντρέχει* Reg. 17 *καιροὶ ἐπὶ τούτου ἀγ.* R.

Cranus unus septem philosophorum, qui Athenis comitati sunt Eudociam uxorem Theodosii iunioris, petiit ab imperatore ut sibi liceret videre signa quae in Hippodromo asservantur; cumque post caetera omnia vidisset quoque statuam dictam vulgo perichytem et asinum ipsi praeeuntem, hic ille ad praesentes se convertens, quis eam posuerit interrogavit, atque ubi Valentiniani esse cognovit, "o miserum" inquit "rerum statum, quando ita asini praeferentur hominibus, ut hi a tergo illos aerumnose subsequi cogantur." nomina autem illorum septem philosophorum haec erant, Cranus, Carus, Pelops, Nerva, Silvanus, Apelles et Curvus. hisce praesentibus imperator aliquando equitans vidit eos admirabundos: sed admirationis causam quaerenti imperatori ita respondit Apelles: "miramur, imperator, quod olim mutatis Olympiis equi homines conscendent." item Nerva dixit "malum praesagit reginae urbium, quod cum signo fortunae aliud signum concurrit." post hunc Silvanus videns signum genuflexum, "hoc" inquit "denotat tempora enervata instare." at Curvus oculos in populum referens exclamavit "o populum carnificibus aliquando abundaturum." Pelops autem carceres Hippodromi conspiciens, cuiusnam illud repagulum esset interro-

ἠρώτησε τίνος τὸ πρόβλημα· τινῶν δὲ Θεοδοσίου εἰπόντων ἐκεῖνον B φάναι "ἢ φιλόσοφος ἄκυρος ἢ βασιλεὺς οὐκ ἀληθής." ἑώρα Κάρος θηλύμορφόν τι ζώδιον τετραμερέσι ζωδιακοῖς γράμμασι γεγραμμένον, καὶ εἶπεν "ὢ τετραπέρατε, ὅτι ἐκ σοῦ κομψοὶ καὶ ἀπείρατοι ἔσονται." Κάρος δὲ καὶ αὐτὸς προτραπεὶς λαλῆσαι εἶπε "δυστυχῆ μοι τὰ πάντα φαίνεται· εἰ γὰρ ταῦτα τὰ στοιχεῖα, ὡς πειρῶνται, ἀληθεύουσιν, ἵνα τί ἡ πόλις διὰ τούτων δοκεῖ συνίστασθαι;"

Καὶ ἐπὶ Ἀναστασίου τοῦ μεγάλου βασιλέως ὁ Ἀσκληπιόδωρος ἰδὼν τὸ ζώδιον τὸ μέγα τὸ ἐν τῷ ἱππικῷ χεῖρα ἐπὶ προσώπου C κατέχον "ὢ βία" ἐβόησεν, "ὅτι πᾶσα ἀνθρωπίνη ἔνδεια εἰς μίαν ἀνθρώπου φρόνησιν ἐζημιώθη." καί τις αὐτῷ ὑποδείξας γράμματα ἐν τῷ μαρμάρῳ, ὑπαναγνοὺς φησίν "ἀγαθὸν μὴ φράσαι τὰ τότε μέλλοντα γίνεσθαι, καὶ ὡς ἐμοὶ ἄρα κέρδος ἦν τοῦ μὴ ἀναγνῶναι."

Θησαυρὸς θεὸς σέβεται, Ἄραβες δὲ μάλιστα τιμῶσι. τὸ δὲ ἄγαλμα αὐτοῦ λίθος ἐστὶ μέγας τετράγωνος, ἀτύπωτος, ὕψος ποδῶν δ', εὖρος β', βάθος ἕν. ἀνάκειται δὲ ἐπὶ βάσεως χρυσηλάτου. τούτῳ θύουσι, καὶ τὸ αἷμα τοῦ ἱερείου προχέουσιν· τοῦτο αὐτοῖς ἐστὶν ἡ σπονδή. ὁ δὲ οἶκος ἅπας ἐστὶν ὁλόχρυσος·

1 τοῦ δὲ θεοδοσίου εἰπόντος κωνσταντίνου Reg. 4 ὁ τετραπέρατος κόσμος ἐστίν Reg. 9 ἀσκληπιάδης Reg. 12 ἐλυμώθη Reg. 13 μὲν φθάσαι Reg. 16 Ἄραβες] ἄριστον Reg.

gavit; quibusdam vero Theodosii affirmantibus respondit "aut philosophus sine auctoritate, aut non verus imperator." porro Carus signum videns muliebre quadratis Zodiaci figuris conscriptum dixit "versuti pariter atque inexperti ex te procedent." idem ille ut pergeret admonitus, "omnia" inquit "infortunata mihi videntur: et si haec signa, uti experimento constat, vera pronuntiant, quare ergo haec urbs earum virtute videtur consistere?"

Sub imperatore Anastasio magno Asclepiodorus philosophus magnum illud signum in Hippodromo videns, quod manu faciem sustulit, repente exclamavit: "o vim ingenii et prudentiae, cui uni omnium hominum necessitas incumbit." cum vero quidam ei litteras marmori incisas ostendisset, iste perlectis illis dixit "melius est non enuntiare quae futura portenduntur; et quantum ad me attinet, felix essem si eas non legissem."

Thesaurum deum Arabes maxime colunt, cuius simulacrum est lapis quadrangulus, non figuratus, quattuor pedum altitudinem, duarum latitudinem et unius profunditatem habens. collocatum vero est supra basim inauratam. huic sacrificant sanguinemque victimae profundunt: hoc enim illis pro libamento est. tota aedes eiusque parietes ex auro

D οἵ τε γὰρ τοῖχοι χρύσεοι καὶ τὰ ἀναθήματα πολλά εἰσιν. ἔστι δὲ τὸ ἄγαλμα ἐν Πέτρᾳ τῆς Ἀραβίας, καὶ αὐτοῦ σέβονται αὐτόν.

Ἐκ τοῦ Ἰκονίου Περσέως καὶ Ἀνδρομέδης στῆλαι ἤχθησαν· καὶ γὰρ ἐν τῇ τοιαύτῃ πόλει ἱστορεῖται τὸ παρὰ Περσέως πρὸς τὸν δράκοντα γεγονὸς θαῦμα. δράκων ἦν ἐμφωλεύων ἐκεῖ, καὶ κατὰ καιρὸν συνηθείας ἐδίδουν κόρην περιφανῆ καὶ ὡραίαν. τότε παρέσχον τὴν Ἀνδρομέδην, παρθένον ὡραίαν καὶ καλήν. διερχόμενος οὖν ὁ Περσεύς, καὶ τῆς κραυγῆς ἀκηκοὼς τῆς παρθένου, ἐπυνθάνετο τί ἂν ὀδύρηται. καὶ αὐτὴ ἐξηγήσατο "ὅτι τῷ P 32 θηρίῳ προτίθεμαι εἰς βοράν." καὶ ὃς ἅμα τῷ ἀκοῦσαι Γοργόνην ἐκτεμὼν καὶ τὴν κεφαλὴν αὐτῆς ἀγαγών, τῇ κόρῃ τε μὴ πρόσβλεψαι τῇ Γοργόνῃ παραγγείλας, καὶ αὐτὸς στραφεὶς ὀπισθοφανῶς δείκνυσιν αὐτὴν τῷ δράκοντι, καὶ ἅμα τῷ βλέψαι ἀπενεκρώθη. καὶ διὰ τοῦτο ἔσχεν τὴν τοιαύτην ἐπωνυμίαν ὁ τόπος, παρὰ Φιλοδώρου λογιστοῦ, διὰ τὸ δεῖξαι τὴν εἰκόνα τῆς Γοργόνης τῷ δράκοντι τὸν Περσέα. εἶχε δὲ ἡ πόλις πρὸ τούτου ὄνομα Δαναεία. εἶτα ἐπληρώθη θρηνῳδίας, καὶ οὕτως ἐκλήθη Θρῆνος, παρὰ Φιλοδώρου δὲ Ἰκόνιον. ἔνθα καὶ συμ- B βιώσαντες Περσεὺς καὶ ἡ Ἀνδρομέδη ἐτελειώθησαν. ἐπάνω οὖν τῆς πύλης τῆς πόλεως ἐστηλώθησαν ἀμφότεροι. αἵτινες στῆλαι

4 p. 24 Band. ἀνδρομέδης θυγατρὸς βασιλίσκου ὑπαρχούσης στ. Vat. 9 ὁ οὖν προειρημένος Περσεὺς ἐκεῖσε οἰκῶν πύθεται κλαιούσης τῆς Ἀνδρομέδης τί ἂν ὠδύρετο. ἡ δὲ τὸ συμβὰν ἐξηγήσατο. τοῦ δὲ καθίσαντος καὶ Γοργόνης κεφαλὴν ἐν πήρᾳ κατέχοντος, ὀπισθοφανῶς στραφεὶς δείκνυσι τῷ θηρίῳ τὸ δηλήτριον. ὅθεν ἰδὸν ἐκεῖνο ἀπέψυξεν. Vat. 17 ἦν δὲ τῇ πόλει ὄνομα ἀπὸ γενεᾶς δανία Vat. δάνεια alius.

sunt, et plurima illic offeruntur donaria. habet eius simulacrum colitque Petra Arabiae civitas.

Iconio statuae Persei et Andromedae deductae sunt: ibi enim mirabile illud certamen Persei cum dracone accidisse referunt. stabulabatur illic draco, cui stato tempore virgo dabatur nobilis et pulchra. obiecta ei fuit Andromeda virgo forma inprimis conspicua, cuius lamenta cum Perseus illuc transiens audisset, plangendi causam quaerenti ipsa omnem rem enarravit, nempe quod esca immani bestiae exposita esset. hoc audito Perseus abscissum Gorgonis caput, quod virginem intueri antea vetuerat, obtendit et versa retrorsum facie draconi monstravit, qui simulatque illud vidit periit. hinc locus ille, ut tradit Philodorus logista, dictus est Iconium, quod Perseus ibi Gorgonium caput draconi ostenderit. nuncupabatur autem prius illa urbs Danaia, deinde, quoniam impleta erat lamentationibus, Threnus cognominata fuit; et tandem Iconium ob praemissam Philodori narrationem. in hac urbe Perseus et Andromeda vitam exegerunt, unde ipsorum statuae portae civitatis

ἤχθησαν ἐπὶ τὴν Κωνσταντινούπολιν, ἔστησαν δὲ ἐν τῷ μεγάλῳ λουτρῷ τοῦ Κωνσταντίνου, πλησίον τοῦ τζυκανιστηρίου.

Ἐν δὲ τῇ κατωγείῳ πόρτᾳ τῇ νῦν πληρεστάτῃ στοιχεῖον ἵστατο τῆς Φειδαλίας Ἑλληνίδος, οἶμαι δὲ τῆς ἀρχαιοτάτης ἐκείνης, τῆς γυναικὸς τοῦ Βύζαντος. ἀρθείσης δὲ κελεύσει τοῦ βασιλέως τῆς στήλης θαῦμα ἦν ἰδέσθαι, τὸν τόπον ἐκεῖνον ἐπὶ πολὺ εἶναι σειόμενον, ὥστε πάντας, ἀλλὰ μὴν καὶ τὸν βασιλέα θαυμάσαι καὶ λιτὴν ἐπελθεῖν, καὶ μόλις παυθῆναι τὸν σεισμόν, Σάββα τοῦ ὁσιωτάτου τῷ τότε ἐνδημοῦντος καὶ εὐξαμένου ὑπὲρ τούτου.

Ἐν τῇ λεγομένῃ Νεολέᾳ εἰς τοὺς πλεκτοὺς κίονας στήλη C *γυναικεία χρυσέμβαφος ἵσταται ἐπὶ ἅρματος καὶ βωμὸς μετὰ μοσχαρίου. ἐν οἷς καὶ ἵπποι χρυσολαμπεῖς τέσσαρες, καὶ διφρηλάτης ἐπὶ τοῦ δίφρου, ἐν τῇ δεξιᾷ φέρων χειρὶ στηλοειδές τι ἄγαλμα, ὅπερ, ὡς προεγράφη, εἰς τύχην τῆς πόλεως ὁ μέγας Κωνσταντῖνος ἐτίμησε, καὶ ἕως τοῦ μεγάλου Θεοδοσίου θέαμα παρὰ τῶν πολιτῶν γενόμενον. μετὰ κηρῶν λευκοφοροῦντες οἱ*

1 *ἥκασιν ἐπὶ Κωνσταντίνου μετὰ τὸ πληρωθῆναι τὴν Ἀντιοχέων ἐκκλησίαν* C. 3 p. 82 Band. *forte πλησιεστάτῃ*. Lamb. 11 p. 43 et 82 Band. *ἐν τῷ ἅρματι εἰς τοὺς πλ. κ. ἐν τῇ λεγομένῃ Νεολαίᾳ* C. *πλεκτοὺς*] *λευκοὺς* Vat. 14 *δίφρου. οἱ δὲ πολλοὶ Ἑλλήνων καὶ Ἀρειανῶν ὑπάρχουσι κεχωσμένοι· καὶ ἄλλα εἰς πλῆθος σκηνώματα.* F, omissis reliquis. *στηλίδιόν τι ἄγαλμα διατρέχον. τοῦτο οἱ μὲν λέγουσι Κωνσταντίνου κατασκευὴν τὴν (οἱ δὲ τὴν?) ζεῦξιν μόνην, τὴν δὲ λοιπὴν ἀρχαίαν εἶναι καὶ μηδὲν παρὰ Κωνσταντίνου κατασκευασθῆναι. ἕως γὰρ Θεοδοσίου τοῦ μεγάλου θέαμα παρὰ πολίταις γέγονεν ἐν τῷ ἱπποδρομίῳ, ἀνὰ κηρῶν λευκῶν καὶ χλαμύδων φοροῦντας πάντας εἰσέρχεσθαι τὴν αὐτὴν στήλην ἐπάνω ἅρματος ἤγουν καρούχας ἕως τοῦ στ.* C.

fuerunt impositae, quae postea Cpolim deductae collocatae sunt in thermis Constantinianis prope Tzycanesterium.

In subterranea porta, nunc oppleta, signum stabat Phidaliae, Graecae illius, ut opinor, antiquissimae, quae uxor fuit Byzantis. cumque iussu imperatoris statua inde auferretur, terribile visu erat quam locus ille aliquamdiu terrae motu concuteretur. hoc uti omnes, ita ipse quoque imperator valde admiratus processionem instituit; quo facto vix tandem precibus sancti Sabae, qui tunc temporis Cpoli commorabatur, terrae motus desiit.

In Neolea supra columnas albas posita est inaurata statua muliebris currui insistens, et iuxta ipsam ara cum vetulo. ibidem quoque conspiciuntur quattuor aurati equi et auriga currum agitans, dextera gerens parvam statuam, quam, ut ante dictum est, Constantinus magnus pro fortuna urbis coluit et cives usque ad Theodosium magnum solenni celebritate honorarunt. albis enim omnes induti vestibus statuam illam

πολῖται καὶ ὀψικεύοντες, ἐπάνω ἅρματος φέροντες ἦγον ἕως τοῦ στάματος ἀπὸ τῶν καγκέλλων. τοῦτο δὲ ἐξετέλουν, ὅτε τῆς D πόλεως ἑόρταζον τὸ γενέθλιον. ἐκεῖσε δὲ ἔνζωδοι ἐστηλώθησαν εἰς τοὺς δύο κίονας ὁ Ἀδὰμ καὶ ἡ Εὔα, καὶ ἡ Εὐθηνία καὶ ὁ Λιμός.

Ἐν τῷ λεγομένῳ λιμένι τοῦ Νεωρίου βοῦς ἵστατο χαλκοῦς παμμεγεθέστατος. κράζειν δὲ αὐτὸν ἔλεγον ὡς βοῦν μίαν τοῦ ἐνιαυτοῦ, καὶ γίνεσθαι παράπτωμά τι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ᾗ ἔκραξεν.

Μαυρικίου στήλη καὶ τῆς γυναικὸς καὶ τῶν τέκνων αὐτοῦ ἵστατο ἐν τῇ χαλκῇ, ἄνωθεν τῆς θεανδρικῆς εἰκόνος, ἐκτεταμένας τὰς χεῖρας ἔχουσαι. ὑπ᾽ αὐτοῦ δὲ τοῦ Μαυρικίου κατεσκευάσθησαν. αἱ δὲ λοιπαὶ ἐκ τῆς τῶν Ἀθηναίων ἥκασι γῆς. φιλοσόφου δέ φασιν εἶναι, ὡς λέγει καὶ ὁ Λιγύριος. μετὰ τὸ P 33 σφαγῆναι παρὰ τοῦ τυράννου Φωκᾶ Μαυρίκιον, εἷς τις διάκονος τῶν μαθητῶν Εὐτυχίου τοῦ αἱρετικοῦ, ὀνόματι Ἄκατος, ἰδὼν ἡττηθέντας τοὺς περὶ αὐτοῦ διδασκάλους, κἀκεῖνος ἀποδράσας κατέλαβε κάστρον τι καλούμενον Σεραπίωνα. τοῦτο δὲ ἐτύγχανεν ὂν ἐν τῶν παρὰ Πέρσαις ῥηγίων. καταμηνύει δὲ Περιττίῳ τῷ φρουράρχῳ τὰ τῆς ἀσθενείας τῶν ἐν τῇ Χαλκηδόνι οἰκούντων,

4 εὐθυμία Vat. 6 p. 30 Band. ὅτι ἡ λεγομένη λίμνη τοῦ Νεωρίου βοῦν εἶχεν ἱστάμενον χαλκοῦν παμμεγέθη C. 9 ἔκραξεν. ἐστοιχείωσε δὲ ὁ αὐτὸς Κόνων, ἐν ᾧ καὶ ἀγορὰ τῶν θαλασσίων ἐμπόρων τὸ πρότερον ἦν. ἐπὶ δὲ Ἰουστίνου μετετέθη εἰς τὸν Ἰουλιανοῦ λιμένα. C. 10 p. 8 Band. 11 ἀνδρικῆς Vat. 15 σφαγῆναι] ἀποθανεῖν μαρκιανὸν τὸν βασιλέα Vat. 16 ἄκαστος διάκονος ὑπάρχων τοῦ ναοῦ τῆς ἁγίας εὐφημίας, ὃς ἰδὼν Vat. 17 τοὺς κατ᾽ εὐτυχίου Vat. 19 ἐν τῇ τῶν περσῶν ῥηγιῶνι Vat. 20 φρουράρχῳ] καστροφύλακι Vat.

currui impositam cum cereis deducebant a cancellis usque ad solium imperatorium Hippodromi. hoc autem fiebat quotannis die urbis natali. ibidem supra duas columnas collocata erant simulacra Adami et Evae et Prosperitatis et Famis.

In portu Neorio bos maximus ex aere stabat, quem ferunt semel in anno mugire solitum, eoque die mali quid urbi accidere.

Mauricii eiusque uxoris et liberorum statuae ad portam aeream supra imaginem Christi manibus extensis positae erant, quas ipse Mauricius fieri curaverat. reliquae vero statuae illic collocatae ex terra Attica deductae sunt; inter quas una est philosophi cuiusdam, ut tradit Ligurius. postquam vero Mauricius a Phoca tyranno interfectus fuit, diaconus quidam nomine Acatus, unus ex sectatoribus Eutychis haeretici, videns victos magistros suos et ipse profugit ad castellum cognomento Serapionis situm in regione Persarum, atque statim Perittio praefecto praesidiario significavit debilitatem civium Chalcedonensium,

προσθεὶς ὅτι ἅμα τῷ καταλαβεῖν αὐτὸν τούτους χειρώσεσθαι. καὶ δῆτα ἀμηνυτὶ στρατεύσας ὁ ῥηθεὶς Πέρσης, καὶ ἔχων στρατιωτῶν ἑβδομήκοντα χιλιάδας, καταλαμβάνει τὴν Χαλκηδόνα· οἱ δὲ μόλις ἴσχυσαν διαφυγεῖν εἰς Κωνσταντινούπολιν μετὰ τῶν τιμίων λειψάνων τῆς ἁγίας Εὐφημίας, ὑπὲρ ἧς τὸ πλέον ἐσπούδαζεν ὁ προδότης καὶ ἀνίερος Ἄκατος, θέλων ἀμῦναι αὐτήν, B διότι τοὺς αἱρέσεως αὐτῶν τόμους κατῄσχυνεν, ἅμα δὲ καὶ διότι οὐ συνεχωρήθη Εὐτύχιον τὸν ἀτυχῆ τὴν τοιαύτην εὐτυχῆσαι μητρόπολιν. λεηλατήσαντες δὲ τότε τὰ ἐκεῖσε πάντα οἱ Πέρσαι ἔλαβον καὶ τὸ χρυσέγκαυστον ἄγαλμα τοῦ ἡλίου θεοῦ τοῦ λεγομένου Κρόνου, καὶ ἀπήγαγον εἰς Περσίαν, καὶ ἐτίμησαν ὡς θεόν.

Ἐπὶ Λέοντος τοῦ Ἰσαύρου πολλὰ θεάματα ἀρχαῖα παρελύθησαν καὶ ἠφανίσθησαν διὰ τὸ παντελῶς ἀλόγιστον αὐτοῦ.

Ἐν τῷ ναῷ τοῦ ἁγίου Μωκίου ἐν τοῖς Κούφοις ἦν τὸ λεγόμενον Τρίζωδον κάτωθεν, ἐν ᾧ καὶ ἀστρονόμουν ποτὲ οἱ Ἕλληνες, εἰδωλείου καὶ τοῦ ναοῦ ὄντος. ἀλλ᾽ ἐπάρθη καὶ ἠφανίσθη ἱερωθέντος τοῦ ναοῦ. καὶ τύμβοι δὲ πολλοὶ Ἑλλήνων καὶ Ἀρειανῶν C ὑπῆρχον ἐν τῷ πάτῳ, καὶ σκηνώματά τινα συγκεχωσμένα εἰς πλῆθος.

2 καὶ δῆτα] ὃς πορευθείς, τοῦ ἅρματος ἐπιβάς (οὕτως γὰρ τοῖς ἐν ῥηγίῳ καστροφύλαξι πέφυκε) μετὰ ἑβδομήκοντα χιλιάδων ἔρχεται ἐπὶ τὴν καλχηδόνος μητρόπολιν. οἱ δὲ ἐκεῖσε προγνόντες ἔφυγον ἐν τῷ βυζαντίῳ, ἄραντες μεθ᾽ ἑαυτῶν καὶ τὰ τίμια λείψανα τῆς ἁγίας εὐφημίας. Vat. ἀμυνητὶ? ἀμενητὶ C. 14 ἀλόγιστον εἶναι αὐτόν Vat.

addens insuper ipsum primo accessu facile eos subiugare posse. quare supradictus Persa sine mora se cum septem mile militibus in viam dedit, tantaque celeritate invasit Chalcedonem, ut civibus vix satis relinqueretur temporis ad transferendum reliquias S. Euphemiae Cpolim, quam in primis impius ille proditor Acatus ultum ibat pro dedecore Eutychianae sectae scriptis illato, et quod infortunato Eutychi istam metropolim concedere noluerant. inter caetera quae tunc temporis Persae praedando abstulerunt, fuit quoque aureum illud et encausto elaboratum signum solis cognominati Croni, quod in Persiam deductum pro deo coluere.

Sub Leone Isauro multa antiqua signa eversa et ablata sunt, quod is omnino irreligiosus esset.

In cavis subterraneis templi S. Mocii locus erat nuncupatus Triexodum, ubi olim, cum templum illud idololatriae adhuc serviret, gentiles sacra sua peragebant: post templi vero consecrationem destructus et eversus fuit, multaque gentilium et Arianorum sepulcra in eius solo reperta sunt.

Ἐν δὲ τῇ πρὸς βορρᾶν πόρτᾳ τοῦ κάστρου Πανόρμου, ὃ ὑπὸ Πανόρμου τινὸς Ἕλληνος ἐκτίσθη, διὰ σιδήρου καὶ χαλκοῦ ἀναμεμιγμένου ἵστατο στήλη γυναικεία δικάρηνος. ἔνθα δὲ καὶ καλόν τι πρᾶγμα ἐγεγόνει· ἐμπρησμοῦ γάρ ποτε τὸ κάστρον κατειληφότος, καὶ πάσης τῆς πόλεως μετὰ καὶ τῶν τειχῶν αὐτῆς ἀφανισθείσης, τὸ πυργίον ἐκεῖνο τῆς πόρτης, οὗ ἡ ῥηθεῖσα στήλη ἵστατο, οὐ μόνον ὅτι οὐκ ἐβλάβη ὅλως, ἀλλὰ καὶ τὸ πῦρ ὀργυιὰς δεκαπέντε ὑπεχώρει τοῦ τοιούτου ζωδίου. ἥτις τοῦ Χοσρόου πολιορκήσαντος τὴν πόλιν παρελήφθη ὑπὸ Περσῶν, καὶ ἔστιν ἕως τοῦ νῦν λατρευόμενον ἐν Περσίδι. καθ᾽ ὃν χρό-
D νον ᾐχμαλώτευσεν Χοσρόης καὶ τὰ Ἱεροσόλυμα, λαβὼν μεθ᾽ ἑαυτοῦ καὶ τὸν τίμιον καὶ ζωοποιὸν σταυρὸν σὺν τῷ πατριάρχῃ Ζαχαρίᾳ. ὃν ἀνελὼν ὁ μέγας βασιλεὺς Ἡράκλειος Ῥωμαίων ἐν τῷ εἰκοστῷ ἔτει τῆς αὐτοῦ βασιλείας, ἀνελάβετο τὰ ῥηθέντα τοῦ τιμίου σταυροῦ ξύλα μετὰ καὶ τοῦ πατριάρχου καὶ τῆς αἰχμαλωσίας ἁπάσης, καὶ ἠγάγετο εἰς Κωνσταντινούπολιν, θεοῦ βοηθείᾳ καὶ χάριτι, καὶ δι᾽ εὐχῆς Μοδέστου τότε πατριαρχοῦντος τῆς τοιαύτης πόλεως.

P 34 Τὸ δὲ Σμύρνιον καλούμενον ἔχει ὑποκάτω τῆς γῆς ἐν τῷ πρὸς βορρᾶν μέρει ὀργυιὰς δέκα, ἐν ᾧ εἰσὶ στῆλαι ἐννέα, ὧν αἱ μὲν ὑπάρχουσι Κωνσταντίνου τοῦ μεγάλου, τῆς γυναικὸς αὐτοῦ

1 p. 82 i. Band. τοῦ διπλοτείχου κάστρου Vat. F. 3 ἵστατο στυράκιον ἰσχαμάδιον (ἠχμῶδι F, αἰχμῶδες Lamb.) καὶ στήλη γυναικεία δικέφαλος FVat. 6 ἐδαφισθείσης Vat. F. 19 p. 60 et 83 Band. ἔχει] πλησίον τοῦ Τετραδισίου ἐμβόλου, σύνεγγυς τοῦ ἁγίου Θεοδώρου τοῦ Σφωρακίου, ἔχει C.

In septentrionali porta Castri Panormi, quod a pagano quodam Panormo ferro atque aere permixto constructum fuit, posita erat muliebris statua biceps. ibi res memoranda contigit. cum enim aliquando illud castrum saevo arderet incendio, totaque urbs una cum muris igne esset consumpta, turris illa, in cuius porta stabat supradicta statua, non tantum non fuit laesa, sed flamma viginti quinque ulnas inde refugit. post, ubi Chosroes urbem expugnavit, in Persiam hoc signum deductum est, atque ibi a Persis etiam nunc adoratur. eodem tempore cepit Chosroes Hierosolymam, auferens inde sanctam et salutarem crucem Christi cum Zacharia patriarcha, quam devicto Chosroe Heraclius Romanorum imperator vigesimo imperii sui anno una cum sacrosancto ligno crucis et omnibus captivis recepit atque Cpolim reduxit, dei gratia adiuvante, nec non precibus Modesti, tunc patriarchae illius urbis.

Locus nuncupatus Smyrnium habet septentrionem versus concavitatem subterraneam decem ulnarum. ibi positae sunt novem statuae, interque eas Constantini magni et Faustae uxoris eius et Hilarionis

Φαύστης, καὶ τοῦ πραιποσίτου Ἱλαρίωνος, καὶ τοῦ παιδὸς αὐτοῦ Κρίσπου, ὃν Ἡρόδοτος καὶ Ἱππόλυτος οἱ χρονογράφοι λέγουσιν ἀποκεφαλισθῆναι παρὰ τοῦ μεγάλου Κωνσταντίνου τοῦ ἰδίου πατρὸς διὰ τὸ εἰς ὑποψίαν ἐλθεῖν μοιχεῦσαι ζητεῖν τὴν μητρυιὰν Φαύστην, ἥν τινα βαλανεῖον πυρωθὲν ἐδέξατο καὶ ἐκεῖ ἀνῃρέθη. Ἑλένη δὲ ἡ μήτηρ τοῦ μεγάλου Κωνσταντίνου, μὴ φέρουσα τὴν τοῦ νέου ἄδικον ἀναίρεσιν, ἤδη τῆς τοῦ Καίσαρος ἀξιωθέντος τιμῆς, ἠδολέσχει ἐπὶ τῇ ἀκρίτῳ ἀποφάσει τούτου. διὸ καὶ B *μεταμεληθεὶς ὁ τούτου πατὴρ ἐπένθησεν ἡμέρας τεσσαράκοντα, μὴ λουσάμενος ὅλως τὸ σῶμα, μηδ' ἐπὶ κλίνης πεσών. ἐποίησε δὲ καὶ τὴν στήλην αὐτοῦ ἐξ ἀργύρου καθαροῦ, ἐπιχρυσώσας ἐν μέρει, τὴν δὲ κεφαλὴν ἐκ χρυσίου τελείου, ἐπιγράψας ἐν τῷ μετώπῳ οὕτως "ὁ ἠδικημένος υἱός μου." ταύτην δὲ ποιήσας μετάνοιαν πολλὰ καὶ τὸν θεὸν ἐξελιπάρησεν, ἵνα ἀφεθῇ αὐτῷ τὸ ἁμάρτημα. αἱ δὲ λοιπαὶ στῆλαι ὑπάρχουσι Σεβήρου, Ἁρματίου, Ζευξίππου, Βίγλεντος τοῦ τὰ βιγλέντια κτίσαντος, καὶ Ἐλευθερίου τοῦ τὰ ἐν τῷ σενάτῳ παλάτια κτίσαντος. καὶ οὗτοι*

1 *τοῦ τρίτου παιδὸς* C. *τοῦ παιδὸς αὐτοῦ ὁμωνύμου κωνσταντίνου καὶ ἑτέρου κρίσπου ὀνομαζομένου* Vat. alii *πρίσκου* et *κρήσκεντος*. 9 *ἐπένθησεν*] *μετενόησε καὶ ἔκλαυσεν ἐπ' αὐτῷ μ' ἡμέρας καὶ μ' νύκτας* Vat. 10 *μηδ' ἐπὶ*] *μὴ ἀναψύξας ἐν κοίτῃ* F. 13 *ταύτην στήσας, μετάνοιαν βαλών, ἐλιπάρει θεῷ ὑπὲρ ὧν ἐπλημμέλησεν* F. 16 *Βιγλεντίου* CF. 17 *τοῦ εἰς τὸ σένατον τὸ παλάτιον* F. *οὗτοι πάντες ξίφει παρεδόθησαν, καὶ ὑπὸ ἀδικήσαντος στηλωθέντες συγχώρησιν παρὰ τοῦ πλημμελήσαντος ἐδυσωποῦντο. παρέλαβον δὲ καὶ τὰ οἰκεῖα τέκνα τοῦτο αὐτὸ ποιεῖν. καὶ ἐκ τούτων πολλοὶ ἕως Οὐαλῆ τοῦ Ἀρειανοῦ. οἱ οὖν Ἀρειανοὶ μὴ φέροντες τὴν ἧτταν τὴν διὰ Κωνσταντίνου ἐν τῷ εἰρημένῳ Τετραδισίῳ ἐμβόλῳ, πλησίον τοῦ ἁγίου Θεοδώρου, ταύτας κατέχωσαν.* F.

praepositi, et Crispi filii Constantini, cui Herodotus et Hippolytus chronographi tradunt caput fuisse amputatum a patre Constantino magno, quod falso suspicaretur ipsum Faustae novercae pudicitiam sollicitasse, quae postea balnei aestu suffocata est. Helena vero Constantini mater aegre ferebat iniustam mortem illius iuvenis, dignitatem Caesaris iam adepti, et assiduo nil aliud vel loquebatur vel meditabatur quam praecipitem et iniudicatam eius condemnationem; quare tandem quoque pater sera permotus poenitentia integros quadraginta dies ipsum luxit, tanta animi aegritudine ut nunquam nec lavaret corpus nec lecto recumberet. praeterea statuam ei posuit ex argento puro et ex parte inauratam, praeter caput, quod ex puro puto auro confectum erat, inscriptis in fronte his verbis "filius meus iniuria affectus." hac igitur ratione poenitentiam agens, deum quoque multis et assiduis precibus illius peccati veniam exoravit. reliquae statuae sunt Severi, Harmatii, Zeuxippi, Vigilantii et Eleutherii, qui palatium senatus condidit. hae omnes sta-

C πάντες παρὰ τοῦ μεγάλου Κωνσταντίνου ἐστηλώθησαν, οὓς οἱ Ἀρειανοὶ ἐπὶ Οὐάλεντος τοῦ παρανόμου κατέχωσαν ἐκεῖσε.

Ἐν δὲ τῷ σενάτῳ ἀπετέθησαν οἱ ἡνίοχοι ζευξίππων, καὶ ἐτέθησαν ἐν τῷ ἀστρονομικῷ ὀργάνῳ, οὗ καὶ αἱ τῆς Ἀρτέμιδος καὶ τῆς Ἀφροδίτης στῆλαι ἵσταντο καὶ σκυτάλαις ἀπεκεφαλίσθη παρὰ τῶν Ἀρειανῶν Ἀρκάδιος ἀρχιδιάκονος τῆς ἁγίας Εὐφημίας. αἱ δὲ καροῦχαι τῶν ἀναιρεθέντων ἡνιόχων κατεχώσθησαν ἐν τῷ εἰλήματι τοῦ ἱπποδρομίου παρὰ Θεοδοσίου τοῦ μεγάλου.

Οἱ δὲ ιβ′ κόφινοι τῶν περισσευμάτων πρότερον μὲν ἐν τῷ παλατίῳ τοῦ σενάτου κατέκειντο, εἶτα ἐν τῷ εἰλήματι τοῦ φόρου κατεχώσθησαν.

D Ἐν δὲ τῇ μεγάλῃ ἐκκλησίᾳ τῇ ἁγίᾳ Σοφίᾳ, δρομικῇ τὸ πρότερον οὔσῃ, εἰς εἰδωλεῖον τελούσῃ, τετρακόσιαι εἴκοσι ἑπτὰ στῆλαι ἵσταντο, ἃς ὁ μέγας βασιλεὺς Ἰουστινιανὸς ἐν τῷ μέλλειν κτίσαι τὸν θεῖον ναὸν ἀφείλετο καὶ διεμερίσατο τῇ πόλει. οἱ δὲ πεπειραμένοι τῶν προειρημένων τὴν πόλιν περιερχόμενοι οὐκ ὀλίγας εὑρήσουσιν. αἱ πλείονες δὲ ὑπῆρχον Ἑλλήνων, ὡς προεί-

3 p. 14 et 83 Band. ἡνίοχοι ἐν ζευξίπποις ἐν τῷ ἀστρ. ὀργάνῳ, ἔνθα τῆς Ἀρτέμιδος καὶ τῆς Ἀφροδίτης ἵσταται στήλη, ἐν αἷς σκυτάλαις ἀπεκεφαλίσθη ὑπὸ Ἀρειανῶν Ἀρκάδιος ἀρχιδιάκονος τῆς ἁγίας Εἰρήνης, omissis reliquis, C. F vero additis his: ἔνθα καὶ λέγουσι σείεσθαι τὰς στήλας ἕως ἡμερῶν τριῶν τοῦ θανάτου τούτου. 9 p. 14 et 83 Band. ιβ′] δέκα CF. πρότερον] δέκα ἔτη CF. τῷ νέῳ παλ. F. 10 εἶτα] μετὰ δὲ ταῦτα ὑπὸ τὴν βάσιν τοῦ κίονος κατ. C. 11 κατεχώσθησαν, Μητροφάνους ἐπισκόπου Κωνσταντινουπόλεως τοῦτο συμβουλεύσαντος τῷ μεγάλῳ βασιλεῖ Κωνσταντίνῳ. F. 12 p. 14 et 84 Band. δρομικῇ — τελούσῃ om C. 14 ἃς — 17 εὑρήσουσιν] haec post p. 65 v. 13 προσενέγκαντος CF. 17 ἑλληνικαὶ ὑπῆρχον, αἵ τινες ἐκ τῶν πολλῶν ὑπῆρχον, τοῦ τε Διὸς καὶ Κάρου τοῦ πατρὸς καὶ Διοκλητιανοῦ CF.

tuae a Constantino magno erectae erant, quas sub Valente haeretico Ariani in eo loco terra obruerunt.

In senatu statuae aurigarum circensium positae erant, in organo scilicet astronomico, ubi etiam Dianae et Veneris statuae erant collocatae. ibidem Arcadius archidiaconus S. Irenae ab Arianis occisus fuit. caeterum currus peremptorum aurigarum sub porticu Hippodromi a Theodosio imperatore depositi fuerunt.

Duodecim corbes reliquiarum primum quidem in palatio senatus collocati erant, postea vero in porticum fori transpositi fuerunt.

In ecclesia magna S. Sophiae, quae prius forma oblonga erat et idolorum cultui serviebat, stabant 427 statuae, quas magnus imperator Iustinianus, templum illud divino cultui aedificaturus, inde abstulit et per urbem distribuit. harum non paucas docti urbem perambulantes inveniunt. maior autem earum pars, ut supra dictum est, erant genti-

ρηται, Ἀπόλλωνος τοῦ τε Διός, καὶ Καράτου τοῦ πατρικίου, Διοκλητιανοῦ, καὶ τὸ δωδεκάζωδον, καὶ ἡ Σελήνη καὶ ἡ Ἀφροδίτη, καὶ ὁ ἀρκτοῦρος ἀστὴρ παρὰ δύο Περσικῶν στηλῶν βασταζόμενος, καὶ ὁ νότιος πόλος, καὶ ἡ ἱέρεια τῆς Ἀθηνᾶς, ἀπὸ τοῦ πλευροῦ τὸν Ἱέρωνα φιλόσοφον μαντευόμενον ἔχουσα. οὐκ ὀλίγαι δὲ Χριστιανῶν· καὶ δέον ἐκ τῶν πολλῶν ὀλίγων ἐπιμνη- P 35 σθῆναι, Κωνσταντίνου τοῦ μεγάλου καὶ Κώνσταντος καὶ Γάλλου καὶ Θεοδοσίου καὶ Ἰουλιανοῦ Καίσαρος, καὶ ἑτέρου Ἰουλιανοῦ ἐπάρχου, Λικινίου Αὐγούστου, Οὐαλεντινιανοῦ, καὶ Θεοδοσίου, καὶ Ἀρκαδίου τοῦ υἱοῦ αὐτοῦ, καὶ Σεραπίωνος ὑπάτου, καὶ Ἑλένης τῆς μητρὸς Κωνσταντίνου τρεῖς, ἡ μὲν μία πορφυρᾶ διὰ μαρμάρων, ἑτέρα διὰ ψηφίδων ἀργυρῶν ἐν χαλκῷ κίονι, καὶ ἡ ἄλλη ἐλεφαντώδης, Κύπρου ῥήτορος προσενέγκαντος.

Ὁ Μαναῒμ στρατηγὸς μετὰ τὸ νικῆσαι τοὺς Σκύθας κατὰ κράτος στήλῃ ἠξιώθη τιμηθῆναι ἐν τῷ καλουμένῳ ὡρείῳ, ὅ τινες B καὶ μόδιον καλοῦσιν. ἦν δὲ καλὸν ὡρολόγιον, ἔνθα νῦν ἵστανται κίονες καὶ ἀψὶς πρὸς τὸν λεγόμενον οἶκον Κρατεροῦ. ἔνθα ἵστατο καὶ μόδιος χαλκοῦς καὶ ὡρεῖον καὶ δύο χεῖρες χαλκαῖ ἐπὶ ἀκοντίων. τὸν δὲ μόδιον δέον ἐστὶ μὴ παραδραμεῖν ἡμᾶς, ὅτι ἐπὶ

2 καὶ τὰ δώδεκα ζῴδια C. 4 ἡ ἐριδία et ἡ ἱερίβοια alii. 5 τὸν Ἱέρωνα] τὴν Ἶριν ἀφιλοσόφως μαντεύουσαν ἔχουσα. ἐκ δὲ τῶν Χριστιανῶν οὐκ ὀλίγαι μὲν, ὡς εἶπον (C, ὡσεὶ ὀγδοήκοντα F). καὶ δέον CF. 6 ὀλίγας μνημονεῦσαι F. 7 prius καὶ] Κωνσταντίου F. Γάλλου Θεοδοσίου τε καὶ Ἰουλιανοῦ καὶ Θεοδοσίου τοῦ ἑτέρου καὶ Ἀρκαδίου C, Γαληνοῦ κυαίστορος Λικ. F. Γαλλιηνοῦ Lamb. 10 ὑπατικοῦ F. 12 μαργάρων C. 14 p. 19 et 84 Band. Μαναναῆν F. 16 καλὸν] πάλαι Lamb. 17 ἵσταται C. 18 ὡρολόγιον Lamb.

lium, Apollinis nempe, Iovis, Cari, Diocletiani et duodecim signorum caelestium, item Lunae, Veneris et Arcturi sideris, quod duae Persicae columnae sustinent, et poli australis, et sacerdotis Minervae, a cuius latere stabat Hero philosophus fatidicus. Christianorum etiam statuae inter eas erant non paucae, ex quarum numero quarundam facienda est mentio, Constantini magni, Constantis, Gallieni, Theodosii, Iuliani Caesaris et alterius Iuliani praefecti, Licinii Augusti, Valentiniani, Theodosii eiusque filii Arcadii, et Serapionis consulis. Helenae matris Constantini tres inter eas erant statuae; una ex marmore porphyretico, altera ex crustis argenteis supra columnam aeream, tertia vero ex ebore, quam posuit Cyrus rhetor.

Manaim praefectus militum post Scythas fortiter devictos statuam meruit in loco nuncupato Horreo, quem quidam etiam vocant Modium. erat autem olim Horreum, ubi nunc stant columnae et arcus ante domum quae appellatur Crateri: ibidem collocata erant modius aereus et horologium et duae manus aereae hastis infixae. neque hoc silentio

Οὐαλεντινιανοῦ ἐτυπώθη· τότε γὰρ καὶ ἀρχὴ μοδίων ἐπὶ τῶν ἐν Κωνσταντινουπόλει οἰκούντων ἀνηρευνήθη. τοῦτο τοῦ ἀργυροῦ τυπώσαντος. ἄργυρος δὲ ἀπ' ἀρχῆς ἐτυπώθη τὸ νόμισμα. τοῦτο δὲ καὶ Θεοδώρητος διασαφεῖ τρανότατα. αἱ δὲ χαλκαῖ χεῖρες ἔκτοτε ἄνωθεν προετυπώθησαν. τοῦ βασιλέως τὸ κουμούλιον

C *μόδιον νομοθετήσαντος, μὴ ἀντερεῖν δὲ τοῖς ναυτιῶσι προστάξαντος, ἐν τῷ κατωγέῳ μοδίῳ τὴν δεξιὰν χεῖρα ἀπώλεσεν· ὅθεν καὶ ἐτυπώθησαν αἱ χεῖρες τοῖς λαμβάνουσι καὶ τοῖς διδοῦσιν, ἀμφότερα ἐκ τῶν προτεταγμένων μὴ ἀγανακτεῖν. ἔνθα τοῦ αὐτοῦ Βαλεντινιανοῦ στήλη ἵστατο εἰς τὴν ἁψῖδα, ἔξαμον ἀργυροῦν τῇ δεξιᾷ κατέχουσα, ὃ καὶ ἡρπάγη εἰς πάκτον παρὰ τοῦ πρωτίκτορος ὑποχωρίου, ἐν τῇ δευτέρᾳ ἀρχῇ Ἰουστινιανοῦ τοῦ ῥινοτμήτου.*

Μενάνδρου μάντεως στήλη ἐπηνέχθη ἐν τῇ πόλει, καὶ ἔστη

D *ἐπὶ τὸν Ἀρτοτυριανὸν οἶκον, ἢ εἰς τὸ ἀρτοπωλεῖον. ἦν δὲ ἀργυροέλατος, πλάτος ἔχουσα πηχῶν η' καὶ μῆκος πηχῶν ιε'. ἦν*

1 *ἀρχηγὸν Μοδίου τῶν ἐν* C, *ἀρχιμόδιον παρὰ τῶν ἐν* F. 2 *τοῦτο*] *διὰ τοῦτο* CF. 3 *τυπώσαντες* C. 4 *διαφατεύει* F. 5 *κούμουλον* C. 6 *τοῖς αὐτοῦ νόμοις προστάξαντος, εἷς ἐκ τούτων παριδὼν τὴν πρόσταξιν καὶ ῥίγλον πωλήσας τὰς χεῖρας ἀπώλεσεν* C, *τοῖς ναυτιοῦσι προστάξαντος, καὶ τὰ σιτηρέσια εἷς ἐξ ἀμφοτέρων τῶν ναυτῶν τῷ βασιλεῖ σῖτον ἀπεμπωλοῦν ἐν τοῖς ἐκεῖσε δίκην ἄδικον καταγγείλαντος, ἐν τῷ κατ.* F. *τοῖς ναύταις προστάξαντος, εἷς τῶν ναυτῶν τοῦτο ποιήσας ἐν τῷ κατ.* Lambecius e Suida. 9 *ἀμφοτέρους* F. *ἀμφότεραι, μετὰ τῶν σιτηρεσίων κούμουλα δίδοσθαι τὰ μόδια. ἔνθα καὶ ἡ τούτου στήλη* C. *ἔνθα τοῦ*] *ἐν δὲ τῇ ἁψῖδι τῶν χειρῶν καὶ τοῦ μοδίου στήλη ἔστησε τοῦ νέου οὐαλεντινιανοῦ, καὶ ἐν τῇ δεξιᾷ κατεῖχεν ἔξαμον ἀργυροῦν, ὃ καὶ ἡρπάγη ὑπὸ κύρου προτίκτορος ἐν ἔτει δευτέρω τῆς βασιλείας ἰουστινιανοῦ* Reg. 11 *παρὰ — ῥινοτμήτου* om C. *κατέχουσα, ἁρπαγῆναι εἰς πάκτον διὰ τὸ καὶ αὐτὴν εἶναι ἀργυρᾶν μικρὰν ἀπὸ τοῦ κουρίου προτίκτορος ἐπὶ Ἰουστινιανοῦ τὸ δεύτερον.* F. 14 p. 85 Band. *μάντεως*] *μάντεως Κρητῶν* F. 16 *ἦν*] *ἥντινα χυμευτὴν ὑπάρχουσαν* Vat.

praetereundum est, modium sub Valentiniano ibi statutum fuisse; tunc enim modiorum usus Cpoli coepit. principio autem modius ille ex argento factus erat, ut perspicue declarat Theodoretus. caeterum manus aereae propterea supra modium positae sunt. cum imperator sanxisset ut modius frumenti cumulate venderetur et navicularios vetuisset edicto obsistere, uni eorum contra facienti dextra manus amputata est. hinc igitur manus illae formatae sunt, ut neque dantes neque recipientes statutis contradicerent. ibidem supra arcum eiusdem Valentiniani statua collocata erat dextra gerens examen argenteum, quod ad pactam barbaris pecuniam solvendam a Cyro protectore ablatum est, quo tempore recuperato imperio Iustinianus Rhinotmetus secundum imperabat.

Menandri vatis statua Cpolim deducta fuit et collocata ad aedes sive in Artopolio. erat autem tota ex argento ductili confecta, latitu-

κατεάξας ὁ εὐσεβὴς βασιλεὺς Μαρκιανὸς ἐχάραξεν εἰς ἀργύρια καὶ διένειμε τοῖς πένησι.

Ἀρδαβούριος στρατηγὸς ἐπὶ τοῦ μεγάλου Λέοντος τοῦ εὐσεβοῦς βασιλέως, ἐν τοῖς Θρᾳκῴοις μέρεσιν, Ἡρωδιανοῦ στήλην εὑρὼν ἐπίκυρτον πάνυ καὶ παχεῖαν, καὶ θυμωθεὶς διὰ τὸ ἀνείδεον αὐτῆς, κατέτριψεν αὐτήν· ἐν δὲ τῷ καταθραύειν εὗρεν ἐν αὐτῇ χρυσίου λίτρας ἑκατὸν τριάκοντα τρεῖς, καὶ αὐτίκα μετὰ προθυμίας κατεμήνυσε περὶ τούτου τῷ βασιλεῖ. καὶ ὁ βασιλεὺς εὑρὼν ἀφορμὴν ἀνεῖλεν αὐτόν. ἐν δὲ τῷ σφάζεσθαι ὀδυρόμενος ἔλεγεν "οὐδεὶς μολύβδῳ χρυσίον καταμίξας ἐπιζήμιος εὑρίσκεται, P 36 *οἷα παρὰ τῷ κυρτῷ τούτῳ βασιλεῖ εἰς ἐμὲ συμβέβηκεν." καὶ οὕτως ἀπεκτάνθη. ἔνθα καὶ οἱ διερχόμενοι τὸν τόπον μάλιστα φιλόσοφοι οὐ τοῖς προτέροις κακοῖς τὸν θάνατον Ἀρδαβουρίου ἐνέβαλλον, ἀλλ' ἕνεκα τῆς στήλης Ἡρωδιανοῦ καταλύσεως. ἅμα δὲ καὶ Ἄσπαρ ὁ παραδυναστεύων τῷ τότε καὶ ἀδελφὸς αὐτοῦ σὺν αὐτῷ τὸ πέρας ἀδελφικῶς ἐδέξατο· οὗ καὶ στήλη ἐν τοῖς Ταύρου μέρεσιν ἕως τῆς δεῦρο ἐσώζετο, ἐν ἵππῳ καθημένη. τὸν οἶκον τοῦ Ἄσπαρος εἶχε Βασίλειος ὁ παρακοιμώμενος.*

Κατὰ τὸ δεξιὸν μέρος τοῦ φόρου στῆλαι ἐν μαρμάροις B *πορφυροῖς ἦσαν δώδεκα, καὶ Σείρηνες δώδεκα, ἃς οἱ πολλοὶ*

1 *ἐχάραξεν*] *εἰς ὀβολοὺς ἐλάσας τοῖς δημοσίοις προσέθηκεν.* F. 3 p. 85 Band. *ἐπὶ λέοντος τοῦ πάνυ* F. 7 *χρυσίου λιτρῶν ρλγ' τάλαντα* F. 10 *ἐπὶ ζημίας ἠνδρίζετο* Vat. 15 *ἅμα — ἐδέξατο*] *ὅτε καὶ ἄσπαρ σὺν αὐτῷ τὸ πέρας ἐδέξατο.* Vat. 19 p. 14 et 85 Band. *κατὰ*] *ἐν δὲ τῷ δεξιῷ μέρει τοῦ φόρου τῆς ἀνατολῆς ἐδέξαντο στήλας πορφυρᾶς διὰ μαρμάρων ιβ' καὶ σειρῆνας ιβ'.* CF.

dine octo cubitorum, et quindecim longitudine. hanc confregit pius imperator Marcianus, et nummos ex ea cusos pauperibus distribuit.

Ardaburius praefectus militum sub Leone magno imperatore, in regione Thracia, Herodiani statuam invenit incurvam prorsus et obesam. quare eius deformitate permotus eam confregit; quo facto in ea invenit 133 libras auri. hoc vero statim cum magno gaudio imperatori nuntiavit, qui arrepta occasione ipsum e medio sustulit. ille autem cum iam interficeretur, ultima haec verba cum lacrimis et lamentis protulit: "nemo unquam, qui aurum plumbo admiscuit, poenam meruit, ut nunc mihi evenit." haec ubi dixit, continuo occisus est. equidem philosophi illac transeuntes non aliam causam mortis Ardaburii fuisse putant quam demolitionem statuae Herodiani. simul etiam cum Ardaburio Aspar eius frater et collega praefecturae fraterno plane animo mortem obiit; cuius statua equestris in Taurina regione urbis hucusque integra servatur. domum vero Asparis postea possedit Basilius accubitor.

Ad dextram fori partem statuae duodecim ex marmore porphyretico erant, et totidem Sirenes inauratae, quas vulgus equos marinos

θαλασσίους ἵππους ἐκάλουν. ἦσαν δὲ χρυσέμβαφοι. δύο ἐξ αὐτῶν ἐφ᾽ ἡμῶν καθηρέθησαν, καὶ τρεῖς ἐν τοῖς μέρεσι τοῦ ἁγίου Μάμαντος ἀπηνέχθησαν· αἱ δὲ λοιπαὶ σώζονται.

Ἡ δὲ τύχη τῆς πόλεως ἵστατο χαλκῆ μετὰ μοδίου ἐν τῇ ἀνατολικῇ ἀψῖδι τοῦ φόρου, ἣν Μιχαὴλ ὁ Ῥαγκαβὲ παρὰ τοῦ βασιλέως κελευσθεὶς ἐχειροκόπησεν, ἵνα μὴ ἰσχύωσι τὰ δημοτικὰ μέρη ἐπανίστασθαι κατὰ βασιλέων.

Ἐν τῷ φόρῳ ὁ σταυρὸς ὁ μέγας γράφει "ἅγιος, ἅγιος, ἅγιος."
C οὗτος δέ ἐστιν ἀντίτυπος οὗ ἐθεάσατο ὁ μέγας Κωνσταντῖνος ἐν τῷ οὐρανῷ. οἱ δὲ χρυσέμβαφοι υἱοὶ αὐτοῦ εἰσίν. καὶ ἐν τοῖς εὐωνύμοις μέρεσι πλησίον τῆς μεγάλης στήλης ἐλέφας χαλκοῦς ἵστατο, ἔνθα καὶ παράδοξον ἐδείχθη θέαμα. σεισμοῦ γάρ ποτε γεγονότος καὶ πεπτωκότος αὐτοῦ, καὶ τοῦ ἑνὸς τῶν ὄπισθεν ποδῶν κατεαγότος, οἱ ταξεῶται (ἔθος γὰρ ἦν παρ᾽ αὐτῶν τὸν φόρον φυλάττεσθαι) συνδραμόντες τοῦ ἐγεῖραι τὸν ἐλέφαντα εὗρον ἔσωθεν αὐτοῦ ἀνθρώπου ὀστᾶ ἀνελλιπῆ ὅλου τοῦ σώματος, καὶ πυξίον μικρόν, ἐν ᾧ γέγραπτο "Ἀφροδίτης παρθένου ἱερᾶς οὐδὲ

1 δύο] ἐπὶ δὲ ἡμῶν ἑπτὰ μόναι καθορῶνται. τὰς δὲ τρεῖς ἐξ αὐτῶν ἐν τοῖς τοῦ ἁγίου Μάμαντος μέρεσιν ἔθηκαν, καὶ αἱ λοιπαὶ στῆλαι σώζονται. CF. 4 p. 15 Band. μοδιόλου C. 5 ἣν ἔφησαν Μιχαὴλ ὁ Ῥαγγαβὲ χειροκοπηθῆναι διὰ τὸ μὴ ἰσχύειν τὰ δημοτικὰ μέρη κατὰ τῶν ἀνακτόρων. C. 8 p. 15 et 85 Band. ἐν τῷ] Ἰστέον ὅτι ὁ σταῦρος ὁ μεσοσυλλαβῶν καὶ ἀναγινωσκόμενος ἅγιος ἅγιος ἅγιος παρὰ τοῦ πρωτοστατοῦντος (προστατοῦντος F) τῷ φόρῳ ἀνηγορεύθη (ἀνηγέρθη F). ἔνθεν καὶ δύο ταχυδρόμων καὶ αὐτοῦ τοῦ Κωνσταντίνου καὶ Ἑλένης ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων σώζονται στῆλαι. εἰς δὲ τὴν ἀνατολικὴν ἀψῖδα τοῦ Κωνσταντινιακοῦ φόρου σταυρὸς ἀργυρέμπλαστος, καὶ ἐν τοῖς ἀκρωτηρίοις στρογγύλοις μῆλον ἐν αὐτῷ τῷ τόπῳ ἀνηγέρθη ὑπὸ Κωνσταντίνου, ὡς ἐθεάσατο αὐτὸν ἐν τῷ οὐρανῷ. οἱ δὲ χρ— CF. 14 οἱ τοῦ ἐπάρχου ταξεῶται CF. 17 ἐν ᾧ] οὗ ἐν τῇ κεφαλῇ F. ἀφροδίτη παρθένος ἵεραος Vat.

vocat. harum duae subversae sunt, tres ad S. Mamantem translatae: reliquae etiamnum ibi exstant.

Fortuna urbis aerea cum modio posita erat in orientali arcu fori. huic Michael Rangabe iussu imperatoris manus amputavit, ne factiones populi quicquam contra imperatores moliri possent.

In magna cruce fori scriptum est "sanctus, sanctus, sanctus;" eamque Constantinus magnus ad instar illius fieri curavit quam viderat in caelo. statuae vero inauratae quae ibi conspiciuntur filiorum eius sunt. praeterea olim ad sinistram magnae statuae elephas aereus stabat, ubi res visu mirabilis accidit. cum aliquando terrae motu collapso unus pedum posteriorum casu diffringeretur, Taxeotae, quos moris erat forum custodire, accurrentes ad erigendum elephantum ossa imminuta in eo invenerunt corporis humani integri, et tabellam cui inscriptum erat "a Venere virgine sancta ne mortua quidem separor." praefectus au-

θανοῦσα χωρίζομαι." *ὁ δὲ ἔπαρχος εὔνους τῷ βασιλεῖ καὶ τῇ πόλει τυγχάνων, λαβὼν ὅλον τὸ τοιοῦτον ζώδιον, εἰς προσθήκην τῷ δημοσίῳ νούμια ἐχάραξεν. ἀλλὰ καὶ χοῖρος ἵστατο ἄνωθεν* D *τῶν κατὰ συστάδην ἱσταμένων κιόνων, σημαίνων τὴν κραυγὴν τῆς πανηγύρεως, καὶ γυμνὴ στήλη πλησίον αὐτοῦ, σημαίνουσα τὸ ἀναίσχυντον τῶν πωλούντων καὶ τῶν ἀγοραζόντων.*

Συστημάτια δὲ ἵστανται μέσον τοῦ φόρου ἔνζωδα ἐπὶ κιόνων, ἐν οἷς δηλοῦνταί ἐν ἱστορίαις τὰ μέλλοντα γενήσεσθαι ἐν τῇ πόλει. ταῦτα δὲ πάντα ἐστήλωσεν Ἀπολλώνιος ἐκεῖνος ὁ Τυανεύς, ὁ σοφὸς καὶ ἄριστος ἀστρονόμος, καὶ ἐστοιχειώσατο ὀνόματα ἐπικρατείας ἕως τέλους αἰώνων.

Ἐν δὲ τῷ μεγάλῳ μιλίῳ Θεοδοσίου στήλη ἵσταται ἐφ' ἵππου χαλκοῦ, καὶ ἐν τῇ χειρὶ μῆλον καὶ στηλοειδές τι στεφανοῦν ἀνδροείκελον ἄγαλμα ἔχοντος, ἣν ἀνεγείρας τῇ πόλει πολλὰ σιτη- P 37 *ρέσια δέδωκεν. οἱ δὲ ἐκεῖσε ὀκτὼ κίονες καὶ οἱ ποδίσκοι, ὁμοίως καὶ τῶν ἀρτοπωλίων ὀκτὼ κίονες καὶ τῶν τζυκαλαρίων καὶ τῆς χαλκῆς, ἔχουσιν ἱστορίας πολλάς, ἃς καὶ καλλύνας ἐχρύσωσεν.*

1 ὁ — 3 ἀλλὰ] ὅπερ ὁ ἔπαρχος τῷ δημοσίῳ προσέθηκεν εἰς νουμία τοῖς προαναδεδηλωκόσιν. CF. 3 ἄνωθεν — κιόνων om C. 7 p. 15 Band. συστημάτιον δὲ μέσον τοῦ φόρου ἔνζωδον ἐπὶ κιόνων ἱστάμενον καὶ ἐν αὐτῷ δηλοῦν τὰς ἱστορίας τῶν μελλόντων ἐσχάτως γίνεσθαι ἐπὶ ταύτῃ τῇ πόλει. οἱ δὲ στηλωτικοὶ τῶν ἀποτελεσμάτων ταῦτα πάντα συνίασιν. ἐστήλωσε δὲ αὐτὰ Ἀπολλώνιος ὁ Τυανεὺς παρακληθεὶς παρὰ Κωνσταντίνου τοῦ μεγάλου, καὶ εἰσελθὼν ἐστοιχείωσε τὰ ὀνόματα τῆς ἐπικρατείας ἕως τέλους αἰώνων. C. μετὰ ζωδίων pro ἔνζωδα Vat. 12 p. 11 et 86 Band. μεγάλῳ] λεγομένῳ C. 13 καὶ στηλ. — ἔχοντος] κρατοῦντος C. 16 tertium καὶ add C. 17 ἃς ὁ αὐτὸς καλλ. C.

tem, qui imperatori et urbi bene volebat, totum illud signum augendo aerario publico in nummos redegit. ibidem etiam stabat porcus supra columnas contiguas, multitudinis strepitum denotans; et prope visebatur alia statua nuda, significans impudentiam eorum qui vendunt et qui emunt.

In medio foro compages quaedam seriesque figurarum columnis impositae visuntur, quae res urbi aliquando eventuras indicant. illas vero omnes erexit Apollonius Tyaneus, astronomiae scientissimus, iisque nomina successiva imperatorum usque ad saeculorum finem insculpsit.

In magno miliario collocata est Theodosii statua equestris ex aere, manu gerens pomum et parvam statuam ipsum coronantem. in eius dedicatione annonam largissimam populo praebuit. octo autem quae illic sunt columnae cum suis spiris, totidemque aliae in Artopoliis positae, atque columnae Tzycalariorum et quae stant in Chalce, omnes illae multas continent historias, quas Callinas inauravit.

Ἐν δὲ τῷ Ξηρολόφῳ, ὃν πρώην θέαμά τινες ἐκάλουν, ἔστησαν κοχλιάδες ιϛ' καὶ σύνθετος Ἄρτεμις καὶ ἕτεραι πολλαὶ στῆλαι εἰς τὰς ἁψῖδας. ἔσχατον δὲ ἐκλήθη Θεοδοσιακὸς φόρος.

Ὅτι Μητροφάνους καὶ Ἀλεξάνδρου καὶ Παύλου εἰκόνες ἐν σανίσι γεγόνασιν ὑπὸ τοῦ μεγάλου Κωνσταντίνου, καὶ ἵσταντο
B *ἐν τῷ μεγάλῳ κίονι τῷ πορφυρῷ, πλησίον κατὰ ἀνατολάς· ἅστινας οἱ Ἀρειανοὶ μετὰ τὸ κρατῆσαι πυρὶ παρέδωκαν ἐν τῷ Κορωνίῳ μιλίῳ, μετὰ καὶ τοῦ τῆς θεοτόκου ἀπεικονίσματος καὶ αὐτοῦ δὴ τοῦ νηπιάσαντος σαρκὶ Ἰησοῦ Χριστοῦ, καθὼς Ἀγκυριανὸς χρονογράφος ἐν τῷ δεκάτῳ λόγῳ αὐτοῦ καὶ Ἀναστάσιος ἡμῖν παραδεδώκασιν.*

1 p. 20 et 86 Band. 2 *κοχλίαι* CF. *ιβ' καὶ Ἄρτεμις συνθετὴ στήλη, καὶ Σευήρου τοῦ κτίσαντος καὶ θεαμάτιον τρίπουν. ἔνθα καὶ θυσίαι πολλαὶ παρὰ τοῦ αὐτοῦ Σευήρου γεγόνασιν. ἔνθα καὶ χρησμοὶ πολλοὶ ἐν αὐτῷ τῷ τόπῳ γεγόνασι. καθ' ὃν καὶ κόρη παρθένος ἐτύθη καὶ ἀστρονομικὴ θέσις εἰς λϛ' χρόνους διήρκεσεν.* F. 3 *φόρος. καὶ ἦν μέχρι Κωνσταντίνου τοῦ κοπρωνύμου.* C. 4 p. 60 et 84 Band. 6 *ἐν τῷ μεγάλῳ] ἐν τῷ φόρῳ πλησίον τῆς μεγάλης στήλης τῆς ἐν τῷ κίονι κατὰ τὴν ἀνατολήν* F. 8 *Κορωνίῳ] ὡραίῳ* C, *ὡρεΐῳ* Lamb. 9 *ἀργυριανὸς* Vat. 10 *τῇ δεκαλόγῳ* CF. *αὐτοῦ ἀκριβέστερον παρὰ ἀναστάσιον ἡμῖν παρέδωκεν* alii. addit F: *τὸ δὲ αὐτὸ καὶ αὐτὸς Ἀναστάσιος.*

In Xerolopho, quem prius theama sive spectaculum quidam vocabant, erant testudines sedecim, et Dianae statua composita, et complures aliae supra arcus. tandem vero denominatus est forum Theodosianum.

Imagines Metrophanis Alexandri et Pauli a Constantino magno tabulis ligneis incisae erant et collocatae supra magnam columnam porphyreticam ad Orientem, quas Ariani rerum potiti in miliario aureo combusserunt una cum imagine S. deiparae et ipsius Iesu Christi infantis, ut Ancyranus chronographus libro decimo et Anastasius memoriae prodiderunt.

ΠΕΡΙ ΚΤΙΣΜΑΤΩΝ

ΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Ὁ ἅγιος Ἀγαθόνικος ὑπὸ Ἀναστασίου πρότερον καὶ Ἰουστινιανοῦ C
τοῦ μεγάλου τὸ δεύτερον ἀνεκαινίσθη. ἐν αὐτῷ δὲ τῷ ναῷ καὶ πατριάρχαι ἐπεσκόπησαν ἑπτὰ ἐπὶ χρόνους πεντήκοντα, καὶ βασιλεῖς ἐστεφηφόρουν ἐκεῖσε τέσσαρες. δι' ἣν δὲ αἰτίαν μετεποιήθη ὑπὸ Τιβερίου, οὐ γινώσκεται. καὶ παλάτιον δὲ ἦν πλησίον τοῦ αὐτοῦ ναοῦ μέγιστον. ὑπὸ δὲ Τιβερίου τοῦ πενθεροῦ Μαυρικίου μετεποιήθη, διολισθὲν εἰς τὰ βασίλεια.

Τὰ δὲ τείχη τῆς δύσεως τῶν μεγάλων πορτῶν ἐπὶ Λέοντος τοῦ μεγάλου καὶ εὐσεβοῦς ἀνεκαινίσθη, ὅτε καὶ ἐλιτάνευσαν καὶ

1 p. 47 et 82 Band. 4 στεφηφοροῦσιν ἐκεῖσε. δι' F. 5 Τιβερίου CF: vulgo θυμοῦ. καὶ] τοῦτο δὲ παρέδωκαν οἱ πρὸ ἡμῶν ὅτι καὶ παλάτιον μέγιστον πλησίον τοῦ παλατίου τούτου ἦν F. 6 πενθεροῦ Μαυρικίου] πρώτου Vat. 7 τὰ νῦν β. C, τὰ παλάτια Vat. 8 p. 82 Band. τὰ δὲ — p. 72 v. 3 ἐνίκησαν post p. 72 v. 5 πάνυ F. δύσεως] πόλεως Vat. τῶν μεγάλων πορτῶν] τὰ μεγάλα πρῶτον Reg. 9 δυσσεβοῦς Vat. ὅτε] καθ' ἣν C.

DE AEDIFICIIS

CPOLITANIS.

Templum S. Agathonici primo ab Anastasio, secundo autem ab Iustiniano magno renovatum est. in hoc templo intra quinquaginta annos septem patriarchae episcopatum gessere et quattuor imperatores coronati sunt. ob quam vero causam mutatum sit non novi. vicinum huic templo erat palatium maximum. caeterum sub Tiberio socero Mauricii mutatum est et inclusum intra palatium imperatorium.

Murus occidentalis magnarum portarum sub Leone magno et pio renovatus est; quo tempore supplicatio habita fuit, et cantatum qua-

τὸ κύριε ἐλέησον τεσσαρακοντάκις ἐξεβόησαν, καὶ ὁ δῆμος τῶν Πρασίνων ἔκραξεν "Κωνσταντῖνος καὶ Θεοδόσιος ὁ μέγας καὶ Λέων εἰς κράτος ἐνίκησαν."

D Τὰ δὲ τείχη τὰ πρὸς τὴν θάλασσαν ἀνεκαινίζοντο ὑπὸ Τιβερίου Ἀψιμάρου (ἕως γὰρ αὐτοῦ ἠμελημένα ἦσαν πάνυ) καὶ ἐκ δευτέρου ἀνεκαινίσθη ὑπὸ τοῦ Θεοφίλου.

Τὸν ἅγιον Μώκιον καὶ τὸν ἅγιον Μηνᾶν ἐποίησεν ὁ μέγας Κωνσταντῖνος ναοὺς ὄντας τὸ πρὶν εἰδώλων· καὶ τὸν μὲν ἅγιον Μηνᾶν καθὼς ἦν εἴασεν, ἐκδιώξας δὲ τὰ ἀγάλματα ἐπωνόμασε τὸν ναὸν οὕτως. τὴν δὲ τελείαν αὐτοῦ οἰκοδομὴν ἐποίησεν μετὰ χρόνους ρξθ' Πουλχέρια καὶ Μαρκιανός, σὺν τοῖς προαστείοις καὶ ἱεροῖς σκεύεσι. τοῦ δὲ ἁγίου Μωκίου ὑπάρχοντος ἄλλα δύο μήκη μείζονος παρ' ὅ ἐστι νῦν, ἐξέκοψε τὸ διμόριον τοῦ ναοῦ
P 38 ὁ μέγας Κωνσταντῖνος, καὶ ἀνήγειρε τὸ θυσιαστήριον. διότι δὲ ἀνῃρέθη ὁ ἅγιος Μώκιος ἐκεῖσε, τούτου χάριν ἀνήγειρε καὶ τὸν ναὸν ὡς ἴδιον αὐτοῦ, καὶ τὸ σῶμα αὐτοῦ ἐκεῖσε ἔφερεν, ὅπερ κεῖται ὑποκάτω τοῦ θυσιαστηρίου. ἐν δὲ ταῖς ἡμέραις Θεοδοσίου τοῦ μεγάλου ἐξωρίζοντο οἱ Ἀρειανοὶ ἀπὸ τῆς μεγάλης ἐκκλησίας, καὶ ἐλθόντες πάλιν κατῴκησαν ἐν τῷ ναῷ τοῦ ἁγίου Μω-

1 ἐβόησαν C. τῶν Πρ.] τοῦ πρασίνου ἔκραξαν "Λέων Κωνσταντῖνον εἰς κράτος ἐνίκησεν" C. 3 Λέων] ἑλένη Vat. ἐνίκησαν. ὁ γὰρ μέγας κωνσταντῖνος ἐνομοθέτησε τὴν κυριακὴν ἀπραξίᾳ τιμᾶσθαι· πρὸ γὰρ αὐτοῦ καὶ κατὰ τὴν κυριακὴν πάντες εἰργάζοντο. Reg. Vat. 4 τὴν om F. ἀνακαινίζονται C. 7 p. 51 et 81 Band. 13 τὸ δίμοιρον μέρος C. 17 p. 51 et 81 Band. ἐν δὲ ταῖς] Δέον γινώσκειν ὅτι ὁ ἅγιος Μώκιος πρῶτον μὲν ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου παρῳκοδομήθη Ἑλλήνων πλήθη ἐκεῖσε κατοικούντων πολλά, καὶ ναὸς ἦν τοῦ Διός, καὶ ἐκ τῶν αὐτοῦ λίθων ἐκτίσθη. ἐν CF. 18 ἐξορίζονται οἱ Ἀρειανοὶ τῶν ἁγίων ἐκκλησιῶν, καὶ ἐλθόντες ἐν τῷ ναῷ τοῦ ἁγίου Μωκίου ἠράσθησαν, καὶ παρακαλοῦσι τῷ βασιλεῖ F.

dragies "kyrie eleeson," acclamante factione Prasina "Constantinus et Theodosius magnus et Leo fortiter vicerunt."

Muros maritimos antea neglectos Tiberius Apsimarus renovavit, secundo autem restauravit eosdem Theophilus.

Templa SS. Mocii et Menae dicavit Constantinus magnus, cum prius essent fana idolorum. et quidem S. Menam, eiectis duntaxat simulacris et novo indito nomine, uti erat reliquit. integram vero ipsius structuram cum vestibulis et sacris vasis annis 169 post procurarunt Pulcheria et Marcianus. templum S. Mocii duplo tunc maius quam nunc est, media parte contraxit Constantinus magnus, et altare ibidem erexit. quoniam vero ibi olim S. Mocius interemptus fuerat, ea re templum hoc ipsius nomini dicavit eiusque corpus illuc transtulit. tempore Theodosii magni eiiciebantur Ariani ecclesia magna; posteaque reversi permissu imperatoris occuparunt templum S. Mocii. septimo

κίου, καὶ παρεκάλουν τὸν βασιλέα κατοικεῖν αὐτοὺς ἐκεῖσε, καὶ γέγονε· καὶ εὐθὺς ἀνεγείρουσι τὸν ναὸν οἱ Ἀρειανοί, καὶ δοξάζεται παρ' αὐτῶν ἔτη ζ', καὶ πίπτει λειτουργούντων αὐτῶν ἐν τῷ ἑβδόμῳ ἔτει, ὅτε καὶ Ἀρειανοὶ ἀπεκτάνθησαν πολλοί. ἐν δὲ ταῖς ἡμέραις Ἰουστινιανοῦ τοῦ μεγάλου ἀνεγείρεται ὁ αὐτὸς ναὸς καὶ ἵσταται μέχρι τῆς σήμερον.

Κωνσταντῖνος ὁ μέγας ἀνήγειρε τὴν ἁγίαν Εἰρήνην τὴν B παλαιάν, καὶ τὴν ἁγίαν Σοφίαν δρομικήν, καὶ τὸν ἅγιον Ἀγαθόνικον, καὶ τὸν ἅγιον Ἀκάκιον τὸν ἑπτάσκαλον. τοὺς δὲ ἁγίους ἀποστόλους ἔκτισεν ἡ μήτηρ αὐτοῦ σὺν αὐτῷ, δρομικὸν ξυλόστεγον ποιήσασα, καὶ μνημεῖα τῶν βασιλέων, ὧν ἐντὸς κεῖται μετὰ τῆς μητρὸς αὐτοῦ καὶ οὗτος.

Τὴν μονὴν τῆς Βεθλεὲμ ἔκτισεν ἡ ἁγία Ἑλένη, καὶ τὰ Γάστρια. καλοῦνται δὲ οὕτως, διότι κομίσασα ἀπὸ Ἱερουσαλὴμ τὸν τίμιον σταυρὸν εἰσήγαγεν αὐτὸν διὰ τῆς πόρτης τοῦ Ψαμάθου, καὶ τὰ εὑρεθέντα ἐκεῖσε ἐπάνω τοῦ σταυροῦ κρίνα τε καὶ φύλλα καὶ βασιλικὰ καὶ τριακοντάφυλλα καὶ κώστους καὶ σάμψυχα καὶ βάλσαμα ἐφύτευσεν εἰς γάστρας πρὸς τὸ διασωθῆναι. ἐκεῖσε C δὲ ἀπληκεύσασα ὠνόμασε τὸν τόπον Γάστρια, καὶ μονὴν ἀνήγειρεν.

3 *πίπτει, ὡς λόγος, ἔτι λ.* F. 4 *ὅτε καὶ*] *καθ' ὃν* F. 6 *ἵσταται ἕως ἡμῶν. ἐν δόλῳ* (*ἐν δ' λόγῳ* Combefis.) *Μάρκελλος ἀναγνώστης φησὶν ὅτι ἐν τῷ δευτέρῳ ἔτει τῆς βασιλείας Κόνωνος τοῦ Ἰσαύρου πίπτει ὁ ναός.* F. 7 p. 32 Band. 8 *παλαιὰν τὸ πατριαρχεῖον καὶ* C. 9 *ἑπτάσκαλον*] *πλησίον τῶν οἰκημάτων τοῦ μεγάλου Κωνσταντίνου* C. 11 *μνημεῖα*] *μνημοθέσιον* C. 13 p. 54 Band. *τῆς*] *τὴν* C. *καὶ τὰ*] *καὶ τὴν μονὴν τὰ* Reg. 15 *ψαμαθά* C. 17 *σάμψυχα κόστους καὶ β.* C. 19 *ἀπλικεύσασα* Vat.

autem anno, postquam hoc templum ab Arianis aedificatum et possideri coeptum fuerat, corruit, dum sacra fiunt, plurimosque illorum oppressit. tempore autem Iustiniani magni denuo templum illud exstructum fuit, et hucusque salvum permansit.

Constantinus magnus aedificavit ecclesiam veterem S. Irenae, et templum S. Sophiae oblongum, et S. Agathonicum, et S. Acacium cognominatum Heptascalum sive ad septem gradus. templum vero SS. Apostolorum una cum ipso mater eius exstrui curavit, forma oblonga et tecto ligneo opertum. item monumenta imperatorum, in quorum uno ipse cum matre conditus est.

Monasterium Bethleem condidit S. Helena; item aliud nuncupatum Gastria. causa autem eius denominationis haec est. Helena Constantini mater sacram Christi crucem Hierosolymis afferens ingressa est Cpolim per portam quae vocatur littorea, et quae supra crucem reperta erant, lilia phylla basilica triacontaphylla sampsucha balsama, ea omnia, quo conservarentur, in vasis plantavit atque ibi deposuit, et monasterium in eodem loco nomine Gastria exstruxit.

Τοῦ δὲ Ψαμάθου τὰ παλάτια καὶ τὸ γηροκομεῖον ἐκτίσθησαν καὶ αὐτὰ παρὰ τῆς ἁγίας Ἑλένης. ὁμοίως καὶ ὁ ἅγιος Θεόδωρος τὰ Κλαυδίου.

Τὸν δὲ ἅγιον Ἰουλιανὸν ἀνήγειρεν Οὐρβίκιος ὁ παριστάμενος εἰς τὰ κτίσματα ἐξ οἰκείων ἐξόδων, ἐν ᾧ καὶ ἦσαν ἄπληκτα τῶν Ῥωμαίων.

Εἰς τὸ καλούμενον Ἀλωνίτζιον, τὸ πλησίον τοῦ Ταύρου, παλάτια ἦσαν χερσαῖα, παρὰ τοῦ μεγάλου Κωνσταντίνου κτισθέντα πρὸς τὸ ἀπληκεύειν τοὺς προκρίτους τῶν Ῥωμαίων. ἐν
D *οἷς καὶ Θεοδόσιος ὁ μέγας, πένης ὢν καὶ ἀνελθὼν ἐν Κωνσταντινουπόλει, ἔξω τοῦ παλατίου ἠπλήκευσεν εἰς τὰ Ῥουφίνου τοῦ σκυτοτόμου, εἰς τὴν βάσιν τοῦ κίονος τοῦ Ταύρου. ὁ δὲ αὐτὸς Ῥουφῖνος ἔσχατος ἐγένετο παρὰ Θεοδοσίου μάγιστρος, ὃς ἔκτισε τὰς Ῥουφινιανάς.*

Τὰ δὲ Μάγγανα ὁ μέγας Κωνσταντῖνος ἔκτισε λόγῳ τῶν βασιλικῶν ἐργοδοσίων· ἐκλήθη δὲ Μάγγανα διὰ τὸ τὰ μάγγανα πάσης τῆς πόλεως καὶ τὰς μηχανικὰς ὕλας ἐκεῖσε ἀποκεῖσθαι, καὶ τὰ πρὸς τὴν τειχομαχίαν σκευή.

P 39 *Τὴν ἁγίαν Εὐφημίαν τὴν πανεύφημον, τὴν ἐν τῷ ἱπποδρομίῳ, ὁ αὐτὸς μέγας Κωνσταντῖνος ἔκτισε, κοσμήσας τὸν ναὸν διὰ πολυτελοῦς ὕλης. μετὰ δὲ υμη′ ἔτη ὁ μισόθεος Κωνσταν-*

1 p. 48 Band. *τοῦ δὲ Ψ.*] *ἀλλὰ καὶ παλάτια καὶ τὸ γηροκομεῖον τὰ εἰς τὰ Ψαμαθᾶ ἡ ἁγία Ἑλένη ἀνήγειρεν. ὁμοίως καὶ τὸν ἅγιον Θεόδωρον τὸν Κλαυδίου.* C. 4 p. 48 Band. 13 *ἔσχατον* Vat. 15 p. 26 Band. 17 *ὕλας*] *βίβλους* Reg. et Mich. Glycas p. 468 8 Bonn. 19 p. 43 Band. 21 *υλη′* C.

Palatium et Gerocomium nomine littoreum condidit eadem S. Helena; similiter et S. Theodorum cognominatum Claudii.

Urbicius, qui praefuit structurae, aedificavit templum S. Iuliani propriis sumptibus. ibidem erant castra Romanorum.

In loco nuncupato Alonitzio, prope Taurum, palatium terrestre exstruxerat Constantinus magnus ad recipiendum Romanos proceres. Theodosius magnus, tenuioris adhuc fortunae, ut primum Cpolim venit, divertit extra hoc palatium ad Rufinum sutorem, ad basin columnae Tauri. hic Rufinus ultimo a Theodosio magister creatus fuit, et aedificavit thermas Rufinianas.

Mangana quoque exstruxit Constantinus magnus ceu officinas imperiales. dicta autem sunt Mangana quod illic reposita essent omnia instrumenta bellica et materiae mechanicae et apparatus necessarius ad oppugnanda moenia.

Item templum S. Euphemiae in Hippodromo condidit Constantinus magnus, et pretiosa exornavit materia; quod post 448 annos Constan-

τῖνος ὁ κοπρώνυμος ἁρμαμέντα καὶ κοπροθέσιον αὐτὸν ἐποίησε, καὶ τὸ λείψανον τῆς ἁγίας σὺν τῇ λάρνακι εἰς τὸν βυθὸν τῆς θαλάσσης κατέρριψεν. μετὰ δὲ χρόνους λζ' Εἰρήνη ἡ εὐσεβεστάτη Αὐγούστα ἡ Ἀθηναία τοῦτον πάλιν ἀνῳκοδόμησε, καὶ τὸ ἅγιον λείψανον ἐν Λέσβῳ εὑροῦσα ἀνεκόμισε.

Μέλλων κτίσαι τὴν πόλιν ὁ μέγας Κωνσταντῖνος καὶ πῆξαι τὸ θεμέλιον κατὰ τὴν παρ' αὐτοῦ γενομένην σχηματογραφίαν, πεζὸς ἐξῆλθε μετὰ τῶν μεγιστάνων αὐτοῦ. ἐλθόντος δὲ αὐτοῦ B εἰς τὸν φόρον, ἔλεξαν αὐτῷ οἱ ἄρχοντες αὐτοῦ "ἐνταῦθα ποίησον τὸ τέλος τοῦ τείχους." ἐκεῖνος δὲ ἔφη "ἕως οὗ στῇ ὁ προαγωγός μου, ἐκεῖσε πληρώσω·" μόνος γὰρ ἐκεῖνος ἑώρα τὸν ἄγγελον προπορευόμενον αὐτοῦ. ἀπελθὼν οὖν μέχρι τοῦ Ἐξωκιονίου πεζὸς μετὰ πάσης τῆς συγκλήτου, ἐκεῖσε ἐθεάσατο τὸν ἄγγελον τὴν ῥομφαίαν πήξαντα καὶ μηνύσαντα ἕως ἐκεῖ στῆναι αὐτόν. διὰ γοῦν τοῦτο ἔπηξεν ἕως ἐκεῖσε τὸ τεῖχος, καὶ ἔστι μέχρι τοῦ νῦν τὸ σχῆμα αὐτοῦ.

Λέγουσι δὲ περὶ τοῦ φόρου ὅτι εἰς μίμησιν τοῦ Ὠκεανοῦ ἐκτίσθη κυκλοειδής, καὶ ψεύδονται οἱ τοῦτο λέγοντες· τὴν γὰρ αἰτίαν τοῦ σχήματος τούτου ἤδη προλαβόντες εἴπομεν. ἐκεῖσε C δὲ ἦν καὶ ὡρολόγιον χαλκοῦν, ὅπερ ἤχθη ἀπὸ Κυζίκου.

3 λζ'] τριάκοντα ἓξ χρόνους C. 6 p. 16 Band. 8 πεζὸς ἐξῆλθε] κατεμέτρησεν αὐτὴν πεζὸς ἐξελθών C. 10 προαγωγός μου] ὁ προοδοποιός μου, οὗ ποιῶ στάμα Reg. 17 p. 12 Band. 18 καὶ — εἴπομεν om C. 20 ἤχθη] ἔφερεν C.

tinus Copronymus mutavit in armentarium et sterquilinium publicum, reliquiis S. Euphemiae cum loculo in mare proiectis. post annos vero 37 pene Atheniensis hoc templum reaedificavit, et sanctas reliquias apud Lemnum insulam repertas eo iterum transtulit.

Constantinus magnus urbis suae fundamenta positurus iuxta formam quam designaverat, ipse pedibus circumivit, comitantibus eum proceribus suis; qui, ubi usque in forum perventum fuit, monuere ut illic pomaerio finem statueret. ille vero respondit "non nisi ubi is qui me praecedit ductor constiterit, finem faciam." videbat nimirum solus angelum praeeuntem. progressus igitur pedibus cum toto senatu usque ad Exocionium, vidit ibi angelum, defixa in terram romphaea, stationis indicium facere; quare ipse quoque ibi substitit, et finem pomaerio statuit.

Forum ad imitationem Oceani circulari forma constructum esse quidam falso referunt. veram autem formae eius causam nos supra diximus. ibidem horologium aeneum, Cyzico deductum, collocatum erat.

Εὑρὼν δὲ ὁ μέγας Κωνσταντῖνος τὰς φυλακὰς τοῦ Βυζαντίου εἰς τὸ Στρατήγιον, ἐκεῖσε καὶ αὐτὸς τοὺς κατακρίτους ἐφρούρει. διήρκεσαν δὲ χρόνους σπγ´ μέχρι τῆς βασιλείας Φωκᾶ τοῦ Καππάδοκος.

Τὸ νῦν καλούμενον Πραιτώριον οἶκος ἦν πατρικίας χήρας ὀνόματι Μάρκας· διὰ γὰρ τὸ εἶναι πνιγηρὰς τὰς φυλακὰς καὶ ζοφώδεις καὶ πλήρεις δυσωδίας πάσης, καὶ μὴ ὑποφέρειν τοὺς ἐκεῖσε ἐγκεκλεισμένους, δέδωκεν αὐτὸν εἰς μισθὸν Φωκᾷ τῷ βασιλεῖ, καὶ οὗτος ἐποίησεν αὐτὸν πραιτώριον.

D *Τὰ δὲ Νούμερα καὶ τὴν χαλκῆν ὁ μέγας Κωνσταντῖνος ἔκτισε, καὶ διὰ τὸ εἶναι ἀργὰ ἐποίησεν αὐτὰ φυλακὴν ὁ Ἡράκλειος καὶ οἱ καθεξῆς.*

Coemeterium S. Lucae condidit Irene Attica, ut gratis ibi sepelirentur pauperes. eadem singulari pietate mota complures domus senibus peregrinis et pauperibus sustentandis aedificavit. item tributorum onera minuit. inprimis autem tria haec morti vitae et sanitati exstruxit, morti Xenotaphium sive coemeterium peregrinorum, vitae pistoriam, sanitati hospitale quod beatae Irenae dicitur.

Templum sancti Diomedis primus aedificavit Constantinus magnus: post eum autem Basilius Macedo id maius et pulchrius reddidit, multisque donavit divitiis, propterea quod inde oraculum de futuro imperio acceperat.

Monasterium Studii Studius patricius condidit tempore Leonis Macelae, et plurimis ditavit possessionibus, atque monachos mille in eo instituit.

Porta S. Aemiliani nomen accepit a proximo templo S. Aemiliani, quod prius parvum erat oratorium. cum autem sub Constantino magno virga Moysis in urbem afferretur, pedes eam in hoc loco excepit im-

λεὺς ἐκεῖσε πεζός, καὶ ἀνήγειρε μέγιστον ναὸν τῆς θεοτόκου, ἔνθα κατετίθετο τὴν ῥάβδον. ἔκτισε δὲ μείζονα καὶ τὸν ἅγιον Αἰμιλιανόν. μετὰ δὲ ταῦτα ἀπηνέγκατο τὴν ἁγίαν ῥάβδον ἐν τῷ παλατίῳ.

Ἐν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου ἤχθη ἐλέφας μικρὸς P 52 ἀπὸ Ἰνδίας καὶ ἐτρέφετο εἰς τὰ βασίλεια. ἱππικοῦ δὲ ἀγομένου, καὶ ἀπαγομένου αὐτοῦ πρὸς αὐτό, καταλλάκτης τις διερχόμενον αὐτὸν διὰ τοῦ μιλίου ἔπαισε μετὰ ῥάβδου σφοδρῶς. χρόνων δὲ διελθόντων δέκα ἀνατραφεὶς ὁ ἐλέφας συνέβη καὶ αὖθις, ὡς ἔθος, ἀπάγεσθαι εἰς τὸ ἱππικόν. περὶ δὲ τὸν τόπον τοῦ μιλίου γενόμενος καὶ τοῦ ποτὲ τύψαντος αὐτὸν ἀναμνησθείς, καὶ ἰδὼν ἐν τῷ τραπεζίῳ καθεζόμενον καὶ γνωρίσας, ἀθρόως δραμὼν πρὸς αὐτόν, καὶ ἐπιβρυχησάμενος ἔκρουσε μετὰ τοῦ ὀδόντος αὐτοῦ, καὶ ἔσχισεν εἰς μέσον ἄνθρωπον, καὶ ἐθαύμασε πᾶς τὸ φύσει μνησίκακον τοῦ θηρίου. B

Τὰ δὲ Κλαυδίου οἶκος ἦν Κλαυδίου πατρικίου καὶ κοιαίστορος ἐν τοῖς χρόνοις Βασιλίσκου τοῦ βασιλέως.

Τὰ δὲ κανικλείου οἶκος ἦν Θεοκτίστου μαγίστρου καὶ ἐπὶ κανικλείου, τοῦ σφαγέντος εἰς κοῖλα τοῦ ἱπποδρομίου παρὰ Βάρδα Καίσαρος τοῦ θείου Μιχαὴλ τοῦ μεθυστοῦ.

2 μείζονα] μέγαν, idque post Αἰμιλιανόν, C. 5 p. 60 Band. μικρὸς ἐν τῇ πόλει, καὶ ἀνέτρεφον αὐτὸν εἴς τινα οἰκήματα C. 7 καταλλάκτης] τραπεζίτης C. 8 μετὰ στυρακίου C, μετριάζων μετὰ τοῦ στυρακίου Vat., μετὰ στύξεως Reg. 14 ἔσχισεν αὐτὸν παραντίκα μέσον τοῦ Μιλίου, omissis reliquis, C. 16 p. 48 Band. 17 βασιλέως, ὃς καὶ παλάτιον ἀνήγειρεν ἐκεῖσε C et, qui παλάτια, Reg. Vat. 18 p. 52 Band.

perator, et magnam condidit ecclesiam S. deiparae, ubi eam deposuit, atque templum S. Aemiliani valde ampliavit. caeterum postea sacram illam virgam in palatium transtulit.

Tempore Theodosii magni iuvenis elephas ex India adductus fuit, qui alebatur in palatio imperatoris. hic cum ad ludos circenses deduceretur, collybista quidam ei per miliarium transeunti fustem impegit quam vehementissime. post annos vero decem elephas, qui iam succreverat, iterum pro more ad Hippodromum ducebatur, et ubi ad miliarium pervenit, reminiscens eius a quo olim ibi erat caesus, et fortuito ipsum mensae videns assidentem et recognoscens, subito impetu illuc accurrit, et hominem cum barritu adorsus dente eum feriit mediumque discerpsit. unde omnes in eo animali naturalem offensae recordationem admirati sunt.

In loco nominato Claudii domus erat Claudii patricii et quaestoris tempore Basilisci imperatoris.

In loco dicto Caniclei domus erat Theoctisti magistri et praefecti caniclei, qui capite plexus fuit in caverna Hippodromi iussu Bardae Caesaris, qui patruus fuit Michaelis cognomine Ebriosi.

Τὸν τοῦ Ἐλευθερίου λιμένα ὁ μέγας Κωνσταντῖνος ἀνήγειρε, κτίζων τὴν πόλιν. ἔλαβε δὲ τὴν προσηγορίαν ταύτην ἀπὸ Ἐλευθερίου πατρικίου καὶ παρισταμένου εἰς τὸ κτίσμα. ἵστατο
C *δὲ ἐν τῷ αὐτῷ λιμένι στήλη μαρμάρινος Ἐλευθερίου, φέρουσα πτύον καὶ κόφινον. ὁ δὲ βασιλεὺς Θεοδόσιος ὁ μικρὸς τὸν ἀναχωματισμὸν τοῦ κτισθέντος παρ' αὐτοῦ κίονος ἐν τῷ Ταύρῳ χύσας ἐν αὐτῷ κατέχωσε, καὶ ἠφάνισε τὸν λιμένα πλακωτὸν ὄντα κάτωθεν καὶ βαθύτατον.*

Τὸν ἅγιον Παντελεήμονα Θεοδώρα ἡ γυνὴ τοῦ μεγάλου Ἰουστινιανοῦ ἀνήγειρε, διότι ὅτε ἦλθεν ἀπὸ Παφλαγονίας, ἐκεῖσε ἐν τῷ ἐμβόλῳ κατῴκει πένης οὖσα καὶ ἔρια νήθουσα, ἐξ ὧν εἶχε καὶ διατροφήν. μετὰ δὲ τὸ βασιλεῦσαι ἔκτισε τὴν πενιχρὰν ἐκείνην οἰκίαν εἰς ναόν.

Τὰ Ναρσοῦ οἶκος ἦν Ναρσοῦ πατρικίου καὶ πραιποσίτου
D *εὐνούχου ἐν τοῖς χρόνοις Ἰουστινιανοῦ τοῦ μεγάλου, καὶ μετετέθη εἰς ξενῶνα καὶ γηροκομεῖον παρ' αὐτοῦ.*

Τὸν ἅγιον Πρόβον Τάραχον καὶ Ἀνδρόνικον ὁ αὐτὸς Ναρσῆς ἀνήγειρε.

1 p. 46 Band. 4 *ἐλευθερίου πρωτασηκρήτου φέροντος ἐπὶ τῶν ὤμων καπούλιον καὶ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, ἀμφότερα λίθινα. κτισθείσης δὲ καὶ τῆς στήλης τοῦ Θεοδοσίου, ἣ ἐπὶ τοῦ κίονος τοῦ Ταύρου ἦν, ὁ χοῦς ἐχύνετο εἰς τὸν λιμένα, καὶ ἐγεμίσθη.* C. 9 p. 47 Band. *παντελ. τοῦ ναρσῆ* Reg. 11 *ἔρια νήθουσα*] *νήθουσα ἔρια ἐπώλει αὐτὰ καὶ ἐκ τοῦ τιμήματος αὐτὴν διῳκεῖτο* Reg. 14 p. 48 Band. 15 *Ἰουστίνου καὶ Σοφίας. τὸν δὲ ξενῶνα καὶ τὸ γηροκομεῖον καὶ τὴν ἐκκλησίαν ἀνήγειρεν ὁ αὐτὸς καὶ τὰ μέχρι τοῦ ὀξυβαφίου καὶ τὸν ἅγιον Πρόβον.* C.

Portum Eleutherii Constantinus magnus struxit eodem tempore quo ipsam urbem condidit. nomen vero accepit ab Eleutherio patricio, qui eius structurae praefuit. eiusdem statua ibi posita erat, manu gerens ligonem et cophinum. caeterum imperator Theodosius iunior cum columnam cum statua sua in Tauro erigeret, terram fodiendo erutam in hunc portum ingessit atque eum opplevit; qui antea fundum lapide quadrato pavitum et altissimum habuit.

Ecclesiam S. Panteleemonis Theodora uxor Iustiniani magni exstruxit, quoniam ex Paphlagonia Cpolim veniens ibi habitaverat in porticu, paupercula tunc et lanificio sibi victum quaeritans. sed postquam ad imperium pervenit, aedes illas paupertinas in ecclesiam mutavit.

Quam vocant Narsetis, domus erat Narsetis patricii et praepositi eunuchi tempore Iustiniani magni, quam ipse postea mutavit in hospitale et gerocomium.

Idem Narses templa SS. Probi Tarachi et Andronici aedificavit.

Ὁ δὲ ἅγιος Θωμᾶς, ὁ τὰ Ἀμαντίου καλούμενος, οἶκος ἦν Ἀμαντίου παρακοιμωμένου ἐν τοῖς χρόνοις τοῦ δικόρου. κἀκεῖνος ναὸν ἀνήγειρεν. ὕστερον δὲ πυρποληθέντα ὁ υἱὸς Βασίλειος ἀνήγειρεν.

Τὴν μονὴν τοῦ Μαρτινάκου ἀνήγειρε Μαρτινάκης πατρίκιος ὁ θεῖος τῆς δεσποίνης Θεοφανοῦς ἐπὶ Μιχαὴλ τοῦ μεθυστοῦ καὶ Βασιλείου Μακεδόνος.

Τὸν πρόδρομον τὰ Πρόβου Πρόβος πατρίκιος ἀνήγειρε, P 53 *καὶ παλάτια ἔκτισε θαυμαστὰ πάνυ.*

Τὰ λεγόμενα Τοξαρᾶ οἶκος ἦν Τοξαρᾶ μαγκλαβίτου τοῦ ἀνελόντος κατ' ἐπιτροπὴν τοῦ Βασιλείου τοῦ Μακεδόνος Μιχαὴλ τὸν μεθυστὴν εἰς τὸν ἅγιον Μάμαντα.

Τὰ Κουράτορος ἐκτίσθη παρὰ Βηρίνης γυναικὸς Λέοντος τοῦ Μακέλου εἰς τύπον τοῦ τάφου Χριστοῦ. παρίστατο δὲ Κουράτωρ ὁ ἄνθρωπος οἰκεῖος αὐτῆς εἰς τὸ κτίσμα.

Τὰ διακονίσσης ἔκτισε Κυριακὸς ὁ πατριάρχης ἐν τοῖς χρόνοις Μαυρικίου τοῦ βασιλέως. ἐπεκλήθη δὲ οὕτως, ὅτι ὁ πατριάρχης ἔτι διάκονος ὢν ἐκεῖσε ᾤκει, καὶ ἡ ἀδελφὴ αὐτοῦ ἐκεῖσε B *ἦν διακόνισσα.*

1 p. 48 Band. *Ἀμάντου* C. 2 *Ἀμαντίου*] *μαγίστρου τινὸς Ἀμάντου παρ.* C. 3 *Βασίλειος*] *Λέων ὁ υἱὸς Βασιλείου τοῦ Μακεδόνος.* C. 5 p. 55 Band. *τοῦ Μαρτινάκου*] *τὰ Μαρτινακίου* C, *τὰ μαρτίνου* Reg. *Μαρτινάκης*] *Μαρτινάκιος* C, *μαρτῖνος* Reg. 6 *δεσποίνης*] *ἁγίας* C. 10 p. 17 Band. 13 p. 18 et 38 Band. *τοῦ Λεομακέλου* C, altero loco *τοῦ Λεωμακέλλου.* 16 p. 18 Band. 17 *βασιλέως τοῦ συντέκνου αὐτοῦ* C.

Templum S. Thomae dictum Amantii domus erat Amantii accubitoris tempore Anastasii Dicori, quam ipse mutavit in ecclesiam. incendio autem consumptam restituit filius eius Basilius.

Monasterium appellatum Martinacae condidit Martinaces patricius, avunculus dominae Theophanus, sub Michaele Methysta et Basilio Macedone.

Templum S. Ioannis praecursoris cognominatum Probi Probus patricius exstruxit; item palatium aedificavit admiratione dignum.

Toxara, ut vocant, domus erat Toxarae manclavitae, qui iussu Basilii Macedonis Michaelem Ebriosum in templo S. Mamantis occidit.

Templum Curatoris condidit Verina uxor Leonis Macelae ad instar sepulcri Christi. structurae autem Curator quidam domesticus eius praefuit.

Ecclesiam diaconissae exstruxit Cyriacus patriarcha tempore Mauricii imperatoris. ita vero denominata est, quod patriarcha adhuc diaconus ibi habitaret et soror eius ibidem esset diaconissa.

Τὴν ἁγίαν Ἀναστασίαν τὴν φαρμακολύτριαν Ἀναστάσιος ὁ δίκορος ἀνήγειρεν. ἦν δὲ ἐκεῖσε οἶκος πατρικίου τινὸς Φαρμακοῦ καλουμένου.

Τὸ λεγόμενον Λεωμάκελλον τρόπον τοιοῦτον ἐκλήθη οὕτως, ὅτι Λέων ὁ Μακέλης, ὃς ἑρμηνεύεται σφαγεύς, πρὸ τοῦ βασιλεῦσαι λέγεται ὅτι κρέα ἐπώλει καὶ ἡ γυνὴ αὐτοῦ ἔπλεκε χορδὰς ἐν τῷ αὐτῷ τόπῳ.

Τὰ Φλωρεντίου οἶκος ἦν Φλωρεντίου πατρικίου καὶ δουκὸς Ἀντιοχείας, τοῦ ἐν τοῖς χρόνοις Ἀρκαδίου τοῦ βασιλέως, ὅστις τελευτῶν ἐποίησε τὸν οἶκον αὐτοῦ γηροκομεῖον.

C Τὰ Ἀνθημίου οἶκος ἦν Ἀνθημίου μαγίστρου τοῦ ἐν τοῖς χρόνοις Μαρκιανοῦ, ὃς καὶ ἔστεψεν αὐτὸν ἐν τῇ πόλει, δεδωκὼς αὐτῷ τὴν ἐκ πρώτης γυναικὸς αὐτοῦ θυγατέρα, καὶ ἀπέστειλεν εἰς Ῥώμην βασιλέα. ὁ δὲ τὸν αὐτοῦ οἶκον εἰς ναὸν καὶ γηροκομεῖον ἀνήγειρε καὶ λοῦμα.

Τὰ Σπουδῆς Ἄννα ἡ Αὐγοῦστα ἔκτισεν, ἡ Λέοντος τοῦ Συρογενοῦς. ἔγκυος γὰρ οὖσα καὶ στρεφομένη ἀπὸ τῶν Βλαχερνῶν, τῆς τοῦ τεκεῖν αὐτὴν ὥρας παραστάσης, εἰσῆλθε κατὰ σπουδὴν εἰς οἶκόν τινος πρωτοσπαθαρίου καὶ ἀπέτεκε, καὶ ἐποίησε τὸν οἶκον ἐκεῖνον μονήν, καὶ ἐπωνόμασε Σπουδῆς διὰ τὸ κατεπείγειν αὐτὴν καὶ ἐπισπεύδειν τὸν τοκετόν. ἀλλὰ καὶ τὴν μονὴν τὰ Ἄννης ἡ αὐτὴ ἄνασσα Ἄννα ἐποίησε.

1 p. 38 Band. 2 φαρμακᾶ C. 4 p. 38 Band. 8 p. 50 Band. 11 p. 37 Band. secundum Ἀνθημίου] ἀνθίμου Vat. 12 ὃν καὶ ἔστεψεν ἡ πόλις καὶ ἀπέστειλεν Reg. 16 p. 39 Band. τὰ Σπουδῆς] τὴν μονὴν τὰ σπουδῆς Reg.

Ecclesiam S. Anastasiae pharmacolytrae Anastasius Dicorus aedificavit eo loco ubi Pharmaci cuiusdam patricii domus fuit.

Locus dictus Leomacellum ita denominatum fuit, quod Leo Macelas, antequam imperio potiretur, carnes ibi vendiderit et uxor eius chordas torqueret.

In loco nominato Florentii domus erat Florentii patricii et ducis Antiochiae, qui vixit tempore Arcadii imperatoris, et domum suam mutavit in gerocomium.

Anthemiana domus erat Anthemii magistri, quem Marcianus imperator in urbe coronavit, et data ei in uxorem filia, quam ex prima uxore susceperat, imperatorem Romam misit. is vero domum suam in templum gerocomium et balneum mutavit.

Monasterium Festinationis condidit Anna Augusta Leonis Isauri. cum enim gravida esset et revertens ex Blachernis in via pariendi necessitate urgeretur, praefestine divertit ad quendam protospatharium, et ibi peperit, domumque in monasterium mutatam Festinationis vocavit ob acceleratum partum. eadem Augusta monasterium Annae aedificavit.

Τὰ Σεβήρου τὸ γηροκομεῖον Σεβῆρος πατρίκιος ἔκτισεν, D ὁ ἀδελφοποιητὸς Κώνσταντος βασιλέως τοῦ ἐγγόνου Ἡρακλείου, ὃς ἀνῃρέθη ἐν τῷ βαλανείῳ εἰς Σικελίαν. ἀλλὰ καὶ ναὸν ἀνήγειρεν, ἐπεὶ οἶκος αὐτοῦ ἐνταῦθα ἦν. μετὰ γοῦν τὸ σφαγῆναι τὸν ῥηθέντα βασιλέα ἐν Σικελίᾳ παρέλαβεν αὐτὸς τὸν Ῥωμαϊκὸν στόλον, καὶ ἀνῆλθεν ἕως τοῦ καλουμένου Φοίνικος.

Τὰ Γαϊνᾶ οἶκος ἦν Γαϊνᾶ πατρικίου τοῦ τυραννήσαντος εἰς τὰ Θρᾳκῷα μέρη ἐν τοῖς χρόνοις Ἀρκαδίου καὶ σφαγέντος ἐκεῖσε. P 54

Τὰ Εὐσεβίου Εὐσέβιός τις ἔκτισε πατρίκιος ἐν τοῖς χρόνοις Ἰουστίνου καὶ Σοφίας τοῦ εὐσεβεστάτου ζεύγους.

Τὴν ὑπεραγίαν θεοτόκον τὰ Κύρου Κῦρος πατρίκιος καὶ ἔπαρχος ἔκτισεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ, ὃς καὶ παρίστατο εἰς τὸ κτίσμα τοῦ χερσαίου τείχους, ὅτε ἐκτίζετο παρὰ τῶν δύο μερῶν, καὶ ὑπὸ τῶν δημοτῶν ἀγαπηθεὶς ἦν, ὅτε καὶ φωνῇ μεγάλῃ εἶπον "Κῦρος καὶ εἰς ἄλλο νικήσει καὶ προκόψει." ὅπερ ἀκούσας ὁ βασιλεὺς ἐποίησεν αὐτὸν μητροπολίτην εἰς Σμύρναν.

Εἰς δὲ τὸ χρυσοκάμαρον τὸ ὄπισθεν τοῦ μυρελαίου ζῴδιον B ἵστατο χρυσοῦν, ἐξ οὗ ἐκλήθη χρυσοκάμαρον. ἐν δὲ τοῖς χρόνοις Βάρδα Καίσαρος τοῦ θείου Μιχαὴλ ἐκλάπη. εἰς δὲ τὸ

1 p. 39 Band. 3 ἀλλὰ καὶ ναὸν ἀνήγειρεν] ἔκτισε δὲ αὐτὸ γηροκομεῖον διότι οἶκος ἦν αὐτοῦ· καὶ ἡ γυνὴ αὐτοῦ ναὸν ἀνήγειρε, διότι μετὰ τὸ C. 7 p. 37 Band. 11 p. 34 Band. 12 ἐξαρχος Vat. 17 p. 48 Band. 19 p. 38 Band.

Gerocomium Severi condidit Severus patricius, frater adoptivus Constantini imperatoris, qui nepos Heraclii fuit et in Sicilia in balneo occisus est. idem templum quoque exstruxit, quo loco domus eius sita fuerat. imperatore autem supradicto in Sicilia interempto sumpsit sibi hic Severus Romanam classem, et cum ea usque ad locum cui Phoenicis nomen est pervenit.

Gainae quae vocatur domus erat Gainae patricii, qui tempore Arcadii imperatoris imperium affectavit in Thraciae partibus, atque ibi occisus fuit.

Aedificium nominatum Eusebii Eusebius quidam patricius exstruxit tempore Iustini et Sophiae coniugum piissimorum.

Ecclesiam S. deiparae cognominatam Cyri Cyrus patricius et praefectus sub Theodosio iuniore condidit. idem structurae terrestris muri praefuit, et a populo adeo dilectus fuit ut publice exclamaret fore ut ad maiorem proveheretur dignitatem. quo audito imperator eum metropolitanum episcopum Smyrnae fecit.

In Chrysocamera, quae sita est post Myrelaeum, stabat olim signum aureum, a quo Chrysocamera nomen accepit. hoc autem tempore Bardae Caesaris furto inde ablatum fuit. in altera Chrysocamera,

Χριστοκάμαρον τὸ πλησίον τοῦ ἁγίου Ἀκακίου, ὅπου ἐστὶ τοῦ Μωσηλὲ ὁ οἶκος, Χριστοῦ ὑπῆρχεν εἰκονισμός.

Εἰς τὰ δύο μυρέλαια μύρα ἔρρεε καὶ ἰάματα πολλὰ ἐγίνετο ὑπὸ τῆς θεοτόκου, καὶ διὰ τοῦτο ἐκλήθησαν.

Τὸ ἀνεμοδούλιον τὸ χαλκοῦν ἐστηλώθη παρὰ Ἡλιοδώρου ἀστρονόμου ἐν τοῖς χρόνοις Λέοντος τοῦ Συρογενοῦς· ἐν ᾧ εἰσὶν ἐστηλωμένοι οἱ δώδεκα ἄνεμοι. τὰ δὲ χαλκουργήματα τὰ με- C *γάλα ἤχθη ἀπὸ τοῦ κάστρου Δυρραχίου, εἶχε δὲ αὐτά τις γυνὴ εἰς προῖκα αὐτῆς.*

Τὸν ἅγιον Ἀκάκιον τὸν Χαρέαν ἔκτισεν ὁ ἀδελφὸς Ναρσῆ πατρικίου ἐν τοῖς χρόνοις Ἰουστίνου καὶ Προκοπίας.

Ὁ ἅγιος Προκόπιος τὰ Βιγλεντίας εἰς τὸν Ταῦρον ἐκτίσθη παρὰ Ἰουστινιανοῦ, ὃς καὶ ἄλλα πολλὰ αὐτόθι παλάτια ἔκτισε λόγῳ τῆς αὐταδέλφης αὐτοῦ Βιγλεντίας. ὑπὸ δὲ ἐμπρησμοῦ ἀφανισθέντα Ἀντωνίνα ἡ γυνὴ Βελισαρίου τοῦ μαγίστρου, ἥτις ζωστὴ ἦν Θεοδώρας τῆς γυναικὸς Ἰουστινιανοῦ τοῦ μεγάλου, μετὰ τὸ χηρεῦσαι αὐτὴν κατῴκει μετὰ Βιγλεντίας, καὶ συναινέσει D *αὐτῆς πάλιν ἀνήγειρε τὸν ναὸν τοῦ ἁγίου Προκοπίου τὰ Βιγλέντια καλούμενον.*

5 p. 17 Band. *ἐστηλώθη*] *ἐστρουλλώθη* Reg. 6 *ἀστρονόμου*] *τοῦ δυσσεβοῦς* CReg. 7 *δὲ χαλκ.*] *δὲ τέσσαρα χαλκουργεύματα* C. 8 *γυνὴ χήρα* C. 9 post *αὐτῆς*: *μετὰ πολλῆς δὲ ἐπιστήμης καὶ ἀστρονομίας ἐποίει τοῦτο.* C et, qui *τοῦτο ἐποίησε*, Reg. 10 *τὴν καρέαν* Reg. 12 p. 37 Band. 14 *βιγλεντίας καὶ ναὸς ὑπῆρχε τῶν παλατίων* Reg. 15 *ἀντωνία* Reg.

quae est prope S. Acacium, ubi est domus Mosele, Christi imago asservabatur.

In duobus illis locis quae vocantur Myrelaea, unguenta scaturibant, et multi sanitati restituebantur ope virginis deiparae; unde etiam nomen obtinuerunt.

Anemodulium aereum, in quo duodecim ventorum signa posita sunt, tempore Leonis Isauri ab Heliodoro astronomo erectum fuit. magna autem eius simulacra aerea Dyrrachio allata sunt a muliere quadam, quae in dotem illa acceperat.

Ecclesiam S. Acacii dictam Chaream aedificavit frater Narsetis patricii tempore Iustini et Procopiae.

Templum S. Procopii cognominatum Vigilantiae, quod situm est in Tauro, primus exstruxit Iustinianus, qui etiam multa alia palatia ibi aedificavit nomine Vigilantiae germanae suae sororis. sed istam ecclesiam incendio absumptam reaedificavit Antonina uxor Belisarii magistri, quae vestitrix fuit Theodorae uxoris Iustiniani magni, suasu ipsius Vigilantiae, cum qua post mariti sui mortem habitavit.

Τὸ δὲ λεγόμενον Κοντόσκάλιον ἡ πόρτα ἀπὸ Γαληνοῦ τοῦ παρισταμένου εἰς τὸ κτίσμα τοῦ λιμένος ἔλαβε τοὔνομα· καὶ γὰρ ἐκεῖνος κοντόσκελος ἐπωνομάζετο.

Ἡ λεγομένη τοῦ Ψαρελαίου μονὴ πρότερον Μυρόδωνος ἐκαλεῖτο. ὁ δὲ κοπρώνυμος διερχόμενος ἐκεῖ ἠρώτησε τὸν πατρίκιον τὸν Καμουλιανὸν πῶς κέκληται ἡ μονή· τοῦ δὲ μὴ εἰδέναι εἰπόντος, αὐτὸς εἰδὼς καὶ ἐνυβρίσαι θέλων τὴν τῶν μοναχῶν βρῶσιν ψαρελαίου καλεῖσθαι ταύτην ἐκέλευσε, καὶ γέγονε τὸ τούτου ῥῆμα κύριον ὄνομα τῇ μονῇ. οἱ δὲ ἐκεῖσε μοναχοὶ τηνι- P 55
καῦτα ἐξέφυγον.

Ὁ χορτοβολὼν ὁ ὢν εἰς τὸ Βύκινον ἐκκλησία ἦν τοῦ ἁγίου Ἀνδρέου, ἣν ἀνήγειρεν Ἰουστινιανὸς ὁ μέγας. ὁ δὲ Καβαλλῖνος ἐποίησεν αὐτὴν χορτοβολῶνα.

Εἰς τὴν καλουμένην Ψαμαθέαν εἴδωλον ἵστατο σεβόμενον παρ᾽ Ἕλληνός τινος. ἔλεγον οὖν οἱ Χριστιανοὶ πρὸς τὸν σέβοντα αὐτό "κατὰ ψεῦσμα θεός ἐστι τοῦτο τὸ σὸν εἴδωλον," καὶ ἐκ τούτου ἔλαβεν ἡ πόρτα τὴν τοιαύτην ἐπίκλησιν. ἢ ἀπὸ τοῦ ὕψωμα θεῖον, διὰ τὸ ἄνωθεν ἵστασθαι τὸν τίμιον σταυρόν.

1 p. 34 Band. *Κοντοσκάλη* C. *Γαληνοῦ*] *Ἀγαλλιανοῦ τουρμάρχου π.* CReg. 4 p. 48 Band. *ψωρελαίου* Vat. *Μυρόδωνος*] *μυρέλαιον* C, *μυρίδονα* Vat. 6 *κουμουλιανὸν* Reg. 8 *ἐκέλευσεν ὁ χοῖρος* Reg. 11 p. 45 Band. *χορτοβολὴς* Vat. 12 *Ἰουστινιανὸς ἐκεῖσε ἐρχόμενος* C. 14 p. 48 Band. *ψαμαθὰν* C. 16 *κατὰ ψεῦσμα*] *ὅτι τὸ εἴδωλον, ὃ σέβῃ ὡς θεόν, ψεματινός ἐστι.* C et, qui *ψευμαθεινός*, Reg.

Porta quae vocatur Contoscalium, nomen accepit a Galeno, qui structurae portus praeerat et cognominabatur Contoscelus.

Monasterium Psarelaei antea nominabatur Myrodonis. cum autem quodam tempore Constantinus Copronymus illud praeteriens Camulianum patricium interrogaret, quomodo id monasterium vocaretur, atque is se nomen eius nescire responderet, imperator, qui bene illud noverat, nominari iussit monasterium Psarelaei, illudens scilicet monachis, quod semper comederent pisces. et monasterium quidem hoc nomen retinuit, monachi vero propterea inde profugerunt.

Foenile quod est in loco nuncupato Buccino, prius ecclesia erat S. apostoli Andreae, quam exstruxerat Iustinianus magnus. Constantinus vero Copronymus eam mutavit in foenile.

In porta quae vocatur Psamathea, idolum stabat, quod colebatur a quodam gentili: propterea igitur, quod Christiani eius cultori dicere solerent "falsus est et ementitus deus hoc tuum idolum," ideo porta sic nominata est; vel propter exaltatum ibi sanctae et venerandae crucis signum, quod supra eam positum erat.

B Ἡ πέμπτη λεγομένη πόρτα ἐκλήθη διὰ τὸ εἶναι τὸν ἀριθμὸν τὴν πέμπτην.

Ἡ δὲ Χαρσίου πόρτα ἐκλήθη ἀπὸ Χαρσίου τοῦ δευτερεύοντος τοῦ μέρους τῶν Βενέτων, ὅτι παρίστατο ἐκεῖσε, ὅτε ἐκτίζετο τὸ χερσαῖον τεῖχος.

Ἡ Ξυλόκερκος πόρτα διὰ τοῦτο ἐκλήθη οὕτως, ὅτι οἱ τεχνῖται ἐν τῷ τόπῳ εὑρόντες ὕδατα πολλά, καὶ μὴ δυνάμενοι θήσειν τεῖχος διὰ τὴν πολλὴν πλημμύραν, κέρκους καὶ παντουρώματα μετὰ ξύλων ποιήσαντες τεθείκασι τὸ θεμέλιον.

C Τὴν θεοτόκον τὴν καλουμένην πηγὴν ὁ μέγας Ἰουστινιανὸς ἔκτισεν. ἀπερχόμενος γὰρ εἰς Θράκην ἐπὶ τῷ κυνηγῆσαι εἶδε πλῆθος λαοῦ ἐξερχόμενον ἐκ τοῦ ἐκεῖσε ναοῦ, μικροῦ ἔτι ὄντος εὐκτηρίου, καὶ ἠρώτησε τί ἐστιν· Στρατήγιος δέ τις μάγιστρος καὶ φύλαξ τῶν βασιλικῶν χρημάτων εἶπεν αὐτῷ "ἡ πηγὴ τῶν ἰαμάτων ἐστί, δέσποτα." καὶ ὁ βασιλεὺς θαυμάσας ὥρισε, καὶ ἐκτίσθη ναὸς μέγιστος καὶ περικαλλὴς ἐκ τῆς περισσευσάσης ὕλης τῆς μεγάλης ἐκκλησίας. ὑπὸ σεισμοῦ δὲ συμπτωθεὶς ἐκτίσθη πάλιν παρὰ Εἰρήνης τῆς Ἀθηναίας, ἔχων ὁ ναὸς ἀφ' οὗ ἐκτίσθη ἕως τῆς Ἀθηναίας Εἰρήνης ἔτη διακόσια ἑβδομήκοντα ἑπτά.

1 p. 48 Band. τὸν ἀριθμὸν] κατ' ἀριθμὸν πέμπτην C. 3 p. 50 Band. 6 p. 50 Band. ξυλοκίρκος et ξυλόκρικος alii. ξηρόκυρτος Reg. 8 παντουρώσεις C. 9 μετὰ] ἐκ Reg. 10 p. 56 Band. 13 εὐκτηρίου καὶ μοναχοῦ τινὸς ἐκεῖσε καθεζομένου Reg. 19 ἔτη] σξ' χρόνοι Reg.

Porta quae vocatur Quinta, ex eo nomen habet quod numero quinta sit.

Porta Charsiae ita dicta est a Charsia secundario factionis Venetae, qui structurae eius loci praefuit, cum conderetur murus terrestris.

Porta quae vocatur Xylocercos, nomen ex eo habet quod artifices eam struentes, propter magnam aquae copiam ibi repertam et crebram maris inundationem, roboreis tignis et palis in aqua defixis fundamentum superposuerunt.

Ecclesiam S. deiparae, quae cognominatur ad fontem, Iustinianus magnus condidit. cum enim aliquando in Thraciam venatum iret, et ex hoc templo, quod tunc temporis parvum oratorium erat, magnam videret prodire populi multitudinem, interrogavit quidnam illud sibi vellet; Strategio autem quodam magistro et custode imperialis pecuniae respondente fontem ibi esse morbos sanantem, valde hoc admiratus est imperator, et ex superflua materia magnae ecclesiae ingens ibi et splendidum aedificavit templum, quod terrae motu collapsum Irene Attica reaedificavit 277 annis post primam eius aedificationem.

Ἡ δὲ ἀχειροποίητος καὶ ο ἅγιος Ἰωάννης ὁ θεολόγος παρὰ D *τοῦ ἐν ἁγίοις Κωνσταντίνου ἐκτίσθη.*

Ὁ δὲ πρόδρομος ὁ στρογγυλόστεγος ἐκτίσθη παρὰ Θεοδοσίου τοῦ μεγάλου, ὅτι ἐπὶ ἡμερῶν αὐτοῦ ἤχθη ἡ τιμία κάρα τοῦ προδρόμου εἰς τὴν πόλιν, ἣν καὶ ἐδέξατο ἀπὸ τοῦ Ἑβδόμου μετὰ Νεκταρίου πατριάρχου καὶ κατέθετο εἰς τὸν ναὸν τοῦ θεολόγου. εἶτα διὰ τοῦ μαγίστρου Ῥουφίνου ἔκτισε τὸν ναὸν τοῦ προδρόμου.

Ἡ μονὴ τοῦ Παυλίνου ἐκτίσθη παρὰ Παυλίνου μαγίστρου τοῦ οἰκειοτάτου ἀνθρώπου τοῦ βασιλέως Θεοδοσίου τοῦ μικροῦ· σύντροφος γὰρ αὐτῷ ὑπῆρχεν. ὃς καὶ ἀνήγειρε τὸν ναὸν τῶν P 56 *ἁγίων ἀναργύρων. οὗτος ὁ Παυλῖνος ἀνῃρέθη παρὰ Θεοδοσίου ζηλοτυπήσαντος αὐτὸν διὰ τὴν ἰδίαν γυναῖκα Εὐδοκίαν τὴν βασίλισσαν. καὶ γὰρ ἐπὶ τῶν ἡμερῶν αὐτοῦ ηὑρέθη μῆλον παμμεγεθέστατον, ἀπὸ Φρυγίας κομίσαντος αὐτό τινος, ὅπερ λαβὼν ὁ βασιλεὺς καὶ θαυμάσας δέδωκε τῷ κομίσαντι ὑπέρπυρα ἑκατόν. τὸ δὲ μῆλον ἀπέστειλεν Εὐδοκίᾳ τῇ βασιλίσσῃ ἐκ τῆς ἁγίας Σοφίας· ἐκεῖσε γὰρ ὄντι τῷ βασιλεῖ ἐκομίσθη. κἀκείνη λαβοῦσα κατεῖχε, καὶ ἐθαύμασεν ἐπὶ τῷ μεγέθει καὶ κάλλει αὐτοῦ. προσελθὼν δὲ Παυλῖνος καὶ ἰδὼν παρὰ τῇ δεσποίνῃ τὸ μῆλον* B

1 p. 56 Band. *ἡ δὲ ἀχειροποίητος ἐκτίσθη παρὰ τοῦ μεγάλου Κωνσταντίνου εἰς τὸ καθέζεσθαι Ἀβράμιον τὸν μοναχὸν ἐκεῖσε· διὸ καὶ ἐκλήθη Ἀβραμίου.* C, ubi lemma *Τὰ ἔξω μοναστήρια.* 2 *τοῦ μεγάλου κωνστ.* Reg. 3 *στρογγ. ὁ ἔχων τὰς κόγχας ἐκτ.* Reg. 4 *τιμία*] *ἁγία κεφαλὴ* Reg. 5 *ἀπὸ τοῦ Ἑβδ.*] *εἰς τὸ ἕβδομον* Reg. 8 p. 55 Band. *τοῦ Παυλίνου*] *τὰ Παυλίνης* CReg. 9 *οἰκειοτάτου*] *φίλου* Reg. 11 *ἀναργύρων. οὔπω δὲ ἐτελείωσεν αὐτόν* C. 13 *παμμεγεθέστατον*] *μῆλον ὀπώρας δίκην ἐπέχον μοδίου τὸ μέγεθος* C, *μοδίου μέγεθος ἔχον* Reg. 15 *ὑπέρπυρα*] *νομίσματα* CReg.

Templa imaginis non manufactae et S. Ioannis theologi a beato Constantino primo exstructa fuerunt.

Ecclesiam S. Ioannis baptistae Theodosius magnus condidit, quia ipso imperante sanctum eius caput in urbem allatum fuit, quod imperator cum patriarcha Nectario in Hebdomo suburbio excepit, et in S. Ioannis evangelistae templo deposuit, usque dum per Rufinum magistrum ecclesia supradicta S. Ioannis baptistae aedificaretur.

Monasterium Paulini Paulinus magister condidit, qui valde familiaris fuit imperatori Theodosio iuniori et una cum ipso educatus. hunc postea Theodosius zelotypia occidit ob coniugem Eudociam Augustam. quippe offerebatur aliquando imperatori pomum mirae magnitudinis e Phrygia allatum, quod ipse plurimum admiratus eum qui attulerat centum hyperpyris remuneravit. pomum vero ex templo S. Sophiae, ubi hoc ipsi oblatum erat, ad Eudociam Augustam misit, quae illud accipiens aeque magnitudinem atque pulchritudinem eius mirata fuit. accedens autem ad eam Paulinus, et idem pomum simili cum admiratione

ἐθαύμασεν, εἰρηκὼς αὐτῇ "πόθεν τοῦτο τὸ ἀγαθὸν ηὑρέθη, δέσποινά μου;" ἡ δὲ ἐρῶσα αὐτοῦ "λάβε τοῦτο" ἔφη. ὁ δὲ λαβὼν ἔπεμψε δῶρον τοῦτο τῷ βασιλεῖ, μὴ εἰδὼς ὅτι παρ' αὐτοῦ ἐδόθη τῇ δεσποίνῃ. ὁ δὲ βασιλεὺς λαβών, καὶ γνοὺς ὅτι ὅπερ ἀπέστειλε τῇ βασιλίσσῃ μῆλόν ἐστι, προσεκάλεσε τὴν Αὐγοῦσταν, καὶ ἐπηρώτησε αὐτήν "ὅπερ ἔστειλά σοι μῆλον, ποῦ ἔστιν;" ἡ δὲ εἶπεν "Παυλίνῳ τῷ πιστοτάτῳ ἡμῶν δέδωκα." ὁ δὲ αὐτὴν μὲν ἠπείλησε ῥήμασιν αὐστηροῖς, Παυλῖνον δὲ προσέ-
C ταξε φονευθῆναι εἰσερχόμενον εἰς τὸ παλάτιον. καὶ δῆτα ἀνερχόμενον τὸν σκοτεινὸν κοχλίαν οὐκ ἠδυνήθησαν οἱ προσταχθέντες τοῦτον φονεῦσαι, εἰ μὴ τὰ ὦτα αὐτοῦ μόνα ἐξέκοψαν. καὶ γνοὺς ἐκεῖνος τὴν ἐπιβουλὴν ἔφυγε. τοῦτο δὲ εἰς θαῦμα τῶν ἁγίων ἀναργύρων γέγονεν, ὡς ἂν τελειώσῃ τὸν ναὸν αὐτῶν. ὁ δὲ βασιλεὺς ἀκούσας ὅπως αὐτὸς ἔφυγε τὸν προκείμενον φόνον, καὶ αἰσχυνθεὶς ἄγνοιαν προυβάλλετο καὶ τοὺς τολμητὰς ἀμῦναι ἔλεγεν. ἀλλὰ μετὰ ταῦτα ἤδη τετελειωκότα τὸν ναὸν τῶν ἁγίων ἀναργύρων ἀπεκεφάλισεν αὐτόν.

4 δεσποίνῃ] αὐγούστῃ alii. 7 εἶπεν] εἶπε φαγεῖν αὐτό. καὶ πάλιν ἠρώτησεν αὐτὴν εἰς τὴν σωτηρίαν αὐτοῦ· ἡ δὲ καὶ πάλιν εἶπε φαγεῖν αὐτό. ὁ οὖν βασιλεὺς ἐξενεγκὼν τὸ μῆλον ἔφη καὶ τοῦτο τί ἐστι; καὶ ταύτην μὲν ἠμύνατο ῥήμασιν αὐστηροῖς, τὸν δὲ παυλῖνον τὸν πιστότατον αὐτῷ φίλον προσέταξεν εἰσερχόμενον εἰς τὸ παλάτιον κατακοπῆναι. καὶ δῆτα Reg. 9 φονευθῆναι] μελοκοπηθῆναι C. 17 αὐτόν] αὐτὸν φανερῶς. ἡ δὲ δέσποινα ὡς δῆθεν ἀτιμωθεῖσα ᾐτήσατο τὸν βασιλέα ἀπελθεῖν εἰς τοὺς ἁγίους τόπους, καὶ συγχωρηθεῖσα ἐξῆλθεν. ἐκεῖσε ἦν γενομένη καὶ εὐαρεστήσασα τῷ θεῷ. ἐν δὲ τῷ μέλλειν τελευτᾶν ἐξωμόσατο μὴ συνειδέναι τι μετὰ Παυλίνου. Reg.

spectans, dixit "ubinam, domina, egregius ille fructus repertus est?" at ipsa, quae eum amabat, "tu" ait "accipe illud." Paulinus igitur pomum ab ea acceptum imperatori remisit, ignorans ab eo prius Augustae illud donatum fuisse. imperator autem pomum recipiens, et cognoscens idem esse quod antea Augustae miserat, ipsam ad se vocatam interrogavit "ubi est pomum quod tibi misi;" illa vero respondit "Paulino nostro fidelissimo dedi." tunc imperator illam quidem severa interminatione increpuit, Paulinum autem, dum ingrederetur palatium, interfici iussit. constituti igitur insidiatores eum in ascensu testudinis tenebrosae aggressi sunt; cui tamen, solis auribus praesectis, vitam adimere non potuerunt: ipse enim, simulatque per insidias se circumventum sensit, recta inde profugit. caeterum hoc ita evenit miraculoso auxilio SS. anargyrorum Cosmae et Damiani, nempe ut inchoatum eorum templum exaedificaret. imperator vero audiens eum vitae periculum effugisse, prae pudore nil sibi hac de re cognitum fuisse simulavit, et insuper aggressores se puniturum promisit. nihilominus, post absolutum templum SS. anargyrorum, caput ei praecidi iussit.

Τὴν ἁγίαν σορὸν τὴν ἐν τοῖς χαλκοπρατείοις Ἰουστῖνος καὶ Σοφία ἀνήγειρεν. ἐν δὲ τῇ ἀγρυπνίᾳ ἀνεγίνωσκον μεγάλοι ἄνθρωποι, D ὅ τε Μιχαὴλ ὁ Ῥαγγαβὲ ὁ κουροπαλάτης πρὸ τοῦ βασιλεῦσαι, καὶ Βάρδας Καῖσαρ ὁ θεῖος Μιχαὴλ τοῦ υἱοῦ Θεοφίλου, καὶ πολλοὶ τῶν μαγίστρων· ἐκεῖσε γὰρ ἐναπόκειται ἡ τιμία ζώνη καὶ ἡ ἐσθὴς τῆς θεοτόκου, τὸ δὲ ὠμοφόριον ἐν Βλαχέρναις.

Τὸν ἅγιον Ἰάκωβον τὸν πλησίον αὐτῆς ὁ αὐτὸς βασιλεὺς ἀνήγειρεν, ἔνθα εἰσὶν ἐν σοροῖς λείψανα τῶν ἁγίων νηπίων καὶ τοῦ ἁγίου Συμεὼν τοῦ θεοδόχου, τοῦ προφήτου Ζαχαρίου καὶ Ἰακώβου τοῦ ἀδελφοθέου. ἐν δὲ τῷ δεξιῷ μέρει τῆς ἁγίας σοροῦ εἰσὶ κείμενα τῶν ἁγίων μυροφόρων γυναικῶν τὰ σώματα, ἐν P 57 δὲ τῷ εὐωνύμῳ αἱ τρίχες τοῦ τιμίου προδρόμου.

Τὸ λοῦμα τοῦ Γερμανοῦ Γερμανὸς ἐν τοῖς χρόνοις Οὐαλεντινιανοῦ στρατηγὸς γενόμενος Πελοποννήσου ἀνήγειρε, οἶκον αὐτοῦ ἔχων.

Περὶ δὲ τῆς τοῦ Βοσπορίου ἐπωνυμίας ταῦτα φησὶν Ἰωάννης Ἀντιοχεύς, ὅτι εἰς τὸ σιγματοειδὲς τοῦ τείχους εἶχον ἔθος πωλεῖν τοὺς βόας, ὃ καὶ ἐκράτει μέχρι τοῦ κοπρωνύμου, εἷς δέ ποτε

1 p. 28 Band. 2 ἐν δὲ] ἐκεῖσε ἦν ἀναγινώσκων Μιχαὴλ C. 7 p. 28 Band. 16 p. 29 Band. περὶ δὲ] ὅτι τὸ Βοσπόριον, καθὼς φησιν Ἰωάννης ὁ Ἀντιοχεύς, ὅτε Βύζας ἔκτισε τὸ Βυζάντιον, βοῦν ἀπέστειλεν ἀπὸ τοῦ προσφορίου, καὶ ἀπῆλθεν εἰς Χρυσόπολιν, καὶ οὕτως ἐκλήθη Βοσπόριον. ἐκεῖ δὲ ἐπωλοῦντο οἱ βόες καὶ εἰς τὸ σιγματοειδὲς τεῖχος μέχρι τοῦ Κοπρωνύμου. ἐκεῖνος ὥρισεν εἰς τὸν Ταῦρον πωλεῖσθαι. C. προσφορίου Vat. 17 σιγμ. τεῖχος Reg.

Templum sacri conditorii in Chalcopratiis Iustinus et Sophia aedificarunt. in vigilia autem viri magni lectorum officio ibi fungebantur, nempe Michael Rangabe curopalata, antequam imperio potiretur, et Bardas Caesar, patruus Michaelis filii Theophili, et complures magistri. ibi enim deposita est veneranda zona et vestis S. deiparae: humerale vero in Blachernis asservatur.

Prope supradictum templum idem imperator ecclesiam S. Iacobi exstruxit, ubi suis in conditoriis asservantur reliquiae sanctorum innocentium et Simeonis Theodochi et prophetae Zachariae et Iacobi fratris Christi. caeterum in dextra parte sacri conditorii posita sunt corpora sanctarum mulierum, quae unguenta ad Christi sepulcrum tulerunt, in sinistra vero coma B. Ioannis praecursoris.

Thermas Germani Germanus, qui sub Valentiniano praetor fuit Peloponnesi, exstruxit, quod domus eius ibi esset.

De Bosporii portus denominatione refert Ioannes Antiochenus, in illa muri parte quae a similitudine fabricae Sigma nuncupatur boves olim veniisse, quod etiam moris fuit usque ad Constantinum Copronymum. accidisse autem aliquando ut bos quidam oestro percitus in mare

βοῦς οἰστρηλατήσας εἰσῆλθε τὴν θάλασσαν καὶ ἐπέρασεν εἰς Χρυσόπολιν, καὶ διὰ τοῦτο ἐκλήθη Βοσπόριον.

B *Τὸν δὲ πύργον ὃς καλεῖται τὸ κεντηνάριον, μέγαν καὶ περιφανῆ ἀνήγειρεν ὁ μέγας Κωνσταντῖνος, καὶ ἐδαπάνησε κεντηνάριον. σεισμοῦ δὲ γενομένου καὶ τελείως χαλασθέντος, ἐκτίσθη παρὰ Θεοφίλου, καθὰ νῦν ὁρᾶται. φέρει δὲ τὸ ἀρχαῖον ἐπώνυμον.*

Τὸ παλαιὸν Πετρίον Πέτρος τις πατρίκιος ἐπὶ τοῖς χρόνοις Ἰουστινιανοῦ τοῦ μεγάλου ἔκτισεν. ἔλεγον δὲ αὐτὸν καὶ Βαρσαμιανὸν τὸν Σύρον, πολλὰς ἀρχὰς τῷ τότε ἀνύσαντα.

Ἡ δὲ μονὴ Ῥωμαίου ἐκτίσθη ἐν τοῖς χρόνοις τοῦ Λέοντος
C *Μακέλου παρὰ Αἵμωνος πατρικίου τοῦ Ῥωμαίου· εἰσελθὼν γὰρ εἰς τὴν πόλιν ἐκεῖσε ᾤκει.*

Ἡ μονὴ ἡ καλουμένη Προκοπίας παρὰ Προκοπίας ἐκτίσθη τῆς θυγατρὸς Νικηφόρου τοῦ Σελευκηνοῦ καὶ γυναικὸς Μιχαὴλ Ῥαγγαβὲ τοῦ ἀπὸ κουροπαλάτων.

Τὸν ἅγιον Εὐστάθιον ἔκτισεν Εἰρήνη ἡ Ἀθηναία.

Τὰ δὲ ἀρμαμέντα ἡ μονὴ ἤγουν ὁ ἅγιος Παντελεήμων,

1 *ἐπέρασεν ἐκ τῶν ἐκεῖσε εἰς* Reg. 3 p. 56 Band. 4 *ἐδαπάνησε*] *ἐξωδίασε* Reg. 5 *χαλάσαντος* C. 6 *ὁρᾶται*] *ὡς ὁρᾶται μικρός* C. *ὁρᾶται. ἐπέγραψε γὰρ καὶ τὸ ὄνομα αὐτοῦ* Reg. 8 p. 40 Band. *τὸ παλαιὸν Πετρίον οἶκος ἦν Πέτρου πατρικίου ἐν* CVat. vulgo *τὸ παλάτιον Π.* 9 *Βαρσαμιανὸν* C, *βονασουνιανὸν* Vat., *βοασυϊνὸν* Reg. 11 p. 50 Band. *Λεωμακέλου* C. 13 *ᾤκει. ἔχει δὲ ἀπὸ τοῦ κτισθῆναι χρόνους φπβ΄.* C. 14 p. 53 Band. *ἡ μονὴ*] *ἡ καλουμένη μονὴ τὰ Προκοπίου* C. 18 p. 57 Band. *τὰ ἀρμαμενταρίου* C.

desiliret et tranaret usque Chrysopolim, atque hinc Bosporium nominis originem traxisse.

Turrim quae vocatur Centenaria, Constantinus magnus magnifice et splendide exstruxit, et in eius structuram centum librarum milia impendit. hanc postea terrae motu deiectam reaedificavit Theophilus ita ut hodieque visitur. caeterum retinuit cognomen pristinum.

Palatium quod vocatur Petrium, Petrus quidam patricius tempore Iustiniani magni condidit, idem qui dictus etiam alio nomine Barsyamianus Syrus multos eo tempore gessit magistratus.

Monasterium Romae sive Romani condidit tempore Leonis Macelae Haemon quidam patricius Romanus: ibi enim in urbem veniens habitavit.

Monasterium Procopiae exstruxit Procopia filia Nicephori Seleucensis, uxor Michaelis Rangabe ex curopalata imperatoris.

Templum S. Eustathii aedificavit Irene Attica.

Monasterium ad Armamenta sive sancti Panteleemonis primo qui-

πρώην μὲν ὁ Μαυρίκιος ἀρμαμενταρεῖον αὐτὸ ἔκτισε, μετὰ δὲ χρόνους σμη' Θεοδώρα ἡ γυνὴ Θεοφίλου τοῦ βασιλέως μονὴν αὐτὸ ἐποίησε.

Τὰ Πικριδίου ἔκτισε Πικρίδιος ὁ κοιτωνάριος ἐν τοῖς χρόνοις Εἰρήνης τῆς Ἀθηναίας. D

Τὸ δὲ Καστέλλιον Τιβέριος ἔκτισεν ὁ βασιλεὺς ὁ πενθερὸς Μαυρικίου διὰ τὸ μὴ καῦσαι τὸν στόλον αὐτοῦ Χάγανον τὸν ἄρχοντα Βουλγαρίας· ἐκεῖσε γὰρ τὰ πλοῖα ἤγαγε καστελλώσας καὶ ὀχυρώσας αὐτὰ ἐκεῖσε.

Τὸν ἀρχιστράτηγον τὸν εἰς τὸν Ἀνάπλουν καὶ τὸ Σωσθένιον ὁ μέγας Κωνσταντῖνος ἔκτισε.

Τὸν ἅγιον Μάμαντα ὁ Λεωμακέλης ἀνήγειρε, διότι ἐκαίετο ἡ πόλις μῆνας ἕξ. ἐν ᾧ ὁ βασιλεὺς καὶ παλάτια ἔκτισε καὶ ἱπποδρόμιον, ἐν ᾧ οἱ βασιλεῖς ἡνιόχευον, ὅπου καὶ Μιχαὴλ ὁ P 58 *υἱὸς Θεοφίλου τοῦ βασιλέως ἀνῃρέθη παρὰ Βασιλείου τοῦ Μακεδόνος. λέγεται δὲ ὅτι κατὰ τὴν τότε μονὴν τοῦ ἐμπρησμοῦ καὶ χειμὼν γέγονεν οἷος οὐκ ἐγένετο ἄλλοτε ποτέ. ἀλλὰ καὶ στακτὴν*

1 *πρῶτον ἐπὶ Μαυρικίου ἀρμαμέντον ἦν* C. 3 *ἐποίησε καὶ κτήματα πολλὰ ἐπεκύρωσε* C. 4 p. 56 Band. lemmate hoc: *Περὶ τῶν μοναστηρίων τῶν περατικῶν.* *κοιτωνίτης* Vat. 6 p. 57 Band. 10 p. 58 et 59 Band. *τὸ Σωσθ.*] *τὴν μονὴν τοῦ Σωσθενίου τὸν ἀρχιστράτηγον* C. 12 p. 57 Band. *λεομάκελος* C. *ἀνήγειρε καὶ ἔκτισεν ἐκεῖ παλάτια, διότι ἐνεπρήζετο ἡ πόλις μῆνας ϛ'. καὶ ἐξελθὼν ὁ Λεομάκελος ἔκτισεν αὐτὰ καὶ μόλον ἐποίησε καὶ ναὸν ὡσαύτως, καὶ ἑώρα ἀπεκεῖσε τὴν πόλιν ἐμπρηζομένην. εἶθ' οὕτως ἔβρεξε στάκτην ἐπ' αὐτῇ ὡς σπιθαμὴν τὸ πάχος. ἔκτισε δὲ καὶ ἱπποδρόμιον, ἐν ᾧ καὶ Μιχαὴλ ὁ βασιλεὺς ἀνῃρέθη ὑπὸ Βασιλείου.* C, omissis reliquis.

dem a Mauricio in armamentarium exstructum fuit. Theodora autem uxor Theophili imperatoris in monasterium mutavit post annos 248.

Aedificium quod vocatur Picridii, condidit Picrides cubicularius tempore Irenae Atticae.

Castellum aedificavit Tiberius imperator socer Mauricii, ne Chaganus Bulgarorum princeps classem eius combureret: ibi enim naves suas subduxit, et locum munivit castello.

Templa B. archangeli Michaelis in Anaplo et Sosthenio Constantinus magnus aedificavit.

Templum S. Mamantis Leo Macelas aedificavit, cum urbs sex integros menses continuo incendio flagrasset. ibidem quoque palatium exstruxit et Hippodromum privatae imperatorum aurigationi destinatum; ubi etiam Michael Theophili imperatoris filius a Basilio Macedone occisus fuit. ferunt autem durante illo incendio adeo saevam fuisse hiemem ut alias nunquam. eodem quoque tempore puram putam stacten pluit,

καθαρὰν ἔβρεξεν, ὡς κεῖσθαι ἐν τοῖς κεράμοις μέχρι σπιθαμῆς. τότε δὲ καὶ ὁ ὅσιος Δανιὴλ ἐν τῷ Ἀνάπλῳ ἦν.

Τὸν ἅγιον Ταράσιον τὴν μονήν, λέγουσιν ὅτι ὁ ἅγιος Ταράσιος ὁ πατριάρχης ἐκεῖσε ἐτέθη καὶ μετὰ τὸν θάνατον αὐτοῦ ἐγένετο μονή.

B Τὴν μονὴν τὰ Δαμιανοῦ Δαμιανὸς παρακοιμώμενος ὁ Σθλαβὸς ἔκτισεν ἐν τοῖς χρόνοις Θεοφίλου τοῦ εἰκονομάχου καὶ Μιχαὴλ τοῦ υἱοῦ αὐτοῦ.

Τὸν ἅγιον Φωκᾶν πέρα Βασίλειος ὁ Μακεδὼν ἔκτισε· ὁμοίως καὶ τὴν θεοτόκον ἐν τῷ φόρῳ, καὶ τὴν νέαν εἰς τὸ παλάτιον, καὶ τὰ παλάτια πέρα τῶν πηγῶν.

Ἡ δὲ πέραθεν τοῦ στενοῦ λεγομένου ἐκκλησία χρυσοκέραμος παρὰ Ἰουστίνου καὶ Σοφίας τῶν εὐσεβεστάτων βασιλέων ἐκτίσθη, καὶ ὁ ἅγιος Παῦλος τὸ ὀρφανοτροφεῖον, καὶ ὁ ὅσιος Ζωτικὸς ὁ εἰς τοὺς λωβούς, ἀλλὰ καὶ ὁ λιμὴν τῶν Σοφιῶν καὶ αἱ Σοφιαναὶ τὰ παλάτια πέρα τοῦ στενοῦ.

C Τὰ δὲ ζευκτὰ κιόνια παρὰ Ῥωμανοῦ τοῦ γέροντος ἀνηγέρθησαν καὶ εἶχον τοὺς τιμίους σταυρούς.

Τὰ δὲ Εὐτροπίου ὁ λιμὴν ἐκτίσθη παρὰ Εὐτροπίου πρωτοσπαθαρίου καὶ κοιαίστορος ἐν τοῖς χρόνοις Ζήνωνος καὶ Ἀναστα-

3 p. 58 Band. τὸν ἅγιον] τὸν δὲ ἅγιον Ταράσιον λέγουσιν εἶναι προάστειον τοῦ πατριάρχου Ταρασίου, καὶ ἀνέστησεν ἐν αὐτῷ μονήν. C. 6 p. 58 Band. τὰ Δαμιανοῦ] τὴν δαμιανοῦ καλουμένην Reg. 7 σκλάβος Vat. 9 p. 58 Band. πέρα om C. 11 πέρα om C. 17 p. 58 Band. ζευκτικὰ Vat. 18 σταυροὺς τοὺς ὄντας νῦν εἰς τὰ μαύρου Reg. 19 p. 59 Band. 20 χρόνοις Κωνσταντίνου τοῦ βασιλέως C.

ita ut ad spithamae altitudinem vasa eo replerentur. eodem S. Daniel in Anaplo degebat.

Monasterium S. Tarasii nomen habet a Tarasio patriarcha, qui ibi sepultus est. post obitum vero illius in monasterium mutatum fuit.

Monasterium Damiani Damianus accubitor natione Sthlavus condidit temporibus Theophili Iconomachi et Michaelis filii eius.

Ecclesiam S. Phocae trans fretum Basilius Macedo aedificavit; item S. deiparae templum in foro, et ecclesiam novam in palatio, et palatium ultra fontes.

Ecclesiam trans fretum sitam et auratis tegulis tectam piissimi principes Iustinus et Sophia condiderunt. item orphanotrophium S. Pauli et domum mutilatis recipiendis destinatam, quae dicitur S. Zotici, et portum Sophiae, et palatia Sophiana trans fretum.

Columellas iunctas, quibus signa crucis imposita erant, Romanus senior erexit.

Portum Eutropii condidit Eutropius protospatharius et quaestor

σίου τῶν βασιλέων· ἐν ᾧ λιμένι ἀπετμήθη τὴν κεφαλὴν Μαυρίκιος καὶ τὰ τέκνα αὐτοῦ καὶ ἡ γυνὴ παρὰ Φωκᾶ τοῦ τυράννου.

Τὰ Μακελίας ἀνήγειρε Λέων ὁ πρωτοασεκρήτης.

Ἐν δὲ τῇ μονῇ τῇ λεγομένῃ Πηλαμίδου στήλη ἵστατο μαρμάρινος, ἣν ἀνήγειρε Θεόφιλος ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ πορφυρογεννήτου.

Τὰ δὲ ἐν τῷ Ἡραίῳ παλάτια ἐκτίσθη παρὰ τοῦ μεγά- D λου Ἰουστινιανοῦ· ὁ δὲ ἀνεψιὸς αὐτοῦ Ἰουστῖνος ἐκαλλώπισεν. Ἥραιον δὲ ἐκλήθη, ὅτι πάλαι τῆς Ἥρας ἦν ὁ ναὸς ἐκεῖ. ἢ Ἡρίον, ὅτι τὸ παλαιὸν ἐκεῖ ἐθάπτοντο οἱ πολῖται· καὶ δηλοῖ τοῦτο τὰ πολλὰ μαρμάρινα κιβούρια.

Τὰ εἰς τὸν Βρύαντα παλάτια Τιβέριος ὁ βασιλεὺς ἔκτισε καὶ ὁ γαμβρὸς αὐτοῦ Μαυρίκιος. ἐκλήθη δὲ Βρύας προφητικῇ ῥήσει διὰ τὸν μέλλοντα αὐτόθι ἀκουσθῆναι βρυγμὸν τῆς πόλεως· καὶ γὰρ ὁ ταύτης τῆς πόλεως ἔσχατος βασιλεὺς μέλλων ἐξελθεῖν προστάξει θεοῦ καὶ ἀπελθεῖν εἰς Ἱερουσαλὴμ καὶ ἀποδοῦναι τῷ κυρίῳ τὴν βασιλείαν τῶν Ῥωμαίων ἅμα τῷ διαδήματι αὐτοῦ, ἐπειδὰν γενήσεται ἐν τῷ τοιούτῳ βουνῷ τῷ Βρύαντι, μέλλει ἀκοῦσαι μετὰ πάντων τῶν ἀκολουθούντων αὐτῷ τὴν βοὴν καὶ P 59

3 p. 59 Band. τὰ Μακ.] τῆς δὲ Μαλελίας τὴν μονὴν ἀνήγειρε Μαλέλιος ὁ πρωτοασηκρῆτις οὕτως καλούμενος C. μηλελίας Vat. 4 p. 59 Band. ἐν δὲ] τὴν δὲ πηλαμίδα ἀνήγειρε Λέων ὁ φιλόσοφος ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ μεγάλου C. 7 p. 59 Band. 8 Ἰουστῖνος] Ἰουστῖνος καὶ Σοφία ἐκαλλώπισαν αὐτά C. 12 p. 59 Band. τὰ εἰς] τοῦ δὲ Βρύαντος τὰ παλ. C. 13 Βρύας ὅτι μέλλοντος τοῦ ἐσχάτου ἐξελθεῖν βασιλέως καὶ κατοικίσαι εἰς Ἱερουσαλὴμ ἐν αὐτῷ Βρύαντι μέλλει ἀκοῦσαι βρυγμὸν καὶ τὴν βοὴν τοῦ κλαυθμῶνος τῆς πόλεως. C. 18 ἐν τῷ τοιούτῳ] ἐν αὐτῷ τῷ τόπῳ τοῦ βρύα Reg.

temporibus Zenonis et Anastasii imperatorum; ubi Mauricio et uxori eius atque liberis capita praecisa sunt.

Aedificium quod vocatur Maceliae, Leo protoasecretis exstruxit.

In monasterio dicto Pelamidae statua marmorea collocata erat, quam erexit Theophilus philosophus tempore Constantini Porphyrogeniti.

Palatia sita in Heraeo Iustinianus magnus aedificavit, quae postea exornavit Iustinus eius nepos. vocatur autem locus ille Heraeum, quod antiquitus ibi templum Iunonis esset; vel Erium, quoniam cives olim ibi sepeliebantur, uti etiam nunc testantur multa marmorea monumenta.

Palatia quae sunt in Bryante, Tiberius imperator et Mauricius eius gener aedificarunt. dictus autem est ille locus Bryas prophetico praesagio futuri urbis fremitus, qui ibi olim exaudietur. cum enim ultimus huius urbis imperator iussu divino ex urbe discedet et proficiscetur Hierosolymam, traditurus deo una cum suo diademate imperium Romanorum, tunc in hoc colle nominato Bryante ipse et omnes, qui eum

τὸν ἀλαλαγμὸν τοῦ ἐναπομείναντος λαοῦ, τῆς πόλεως ἤδη ποντιζομένης.

Τὰ τοῦ Δαματρίου παλάτια οἱ αὐτοὶ βασιλεῖς ἔκτισαν. ἔστι δὲ ἐκεῖσε τὸ πήδημα Κωνσταντίνου τοῦ υἱοῦ Εἰρήνης τῆς Ἀθηναίας, τοῦ τυφλωθέντος παρὰ τῆς μητρὸς αὐτοῦ.

Τὰ Φλωρεντίου καὶ τὰ Καλλιστράτου ἀπὸ δύο αὐταδέλφων οὕτω καλουμένων ἐκτίσθη. μετὰ δὲ τὸν θάνατον αὐτῶν ἐγένετο δύο μοναστήρια ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ μεγάλου. μετὰ δὲ τετρακόσια καὶ εἴκοσι ὀκτὼ ἔτη Παῦλος πατριάρχης ἐν τοῖς χρόνοις Εἰρήνης τῆς Ἀθηναίας παρῃτήσατο, καὶ κατελθὼν τοῦ πατριαρχείου ἐκεῖσε ἡσυχήσας μετὰ μῆνας τέσσαρας τέθνηκε.

B Τὰ παλάτια τῶν Ἐλευθερίου καὶ τὰ ἐργοδόσια ἡ αὐτὴ Εἰρήνη ἔκτισεν. ἀπὸ δὲ τῶν Ἐλευθερίου παλατίων μέχρι τοῦ Ἀμαστριανοῦ ἱπποδρόμιον ἦν, παρὰ τοῦ δευτέρου κτίστορος τῆς πόλεως τοῦ μικροῦ Θεοδοσίου κατασκευασθέν, ὅπερ κατέλυσεν ἡ Ἀθηναία καὶ ἔκτισεν ἐν αὐτῷ τὰ πιστώρια.

Τὸ δὲ καλούμενον μέγα λουτρὸν πλησίον τοῦ βοὸς ἐκτίσθη παρὰ Νικήτα εὐνούχου καὶ ἐπὶ τῆς τραπέζης, ἐπὶ τοῖς χρόνοις Θεοφίλου τοῦ βασιλέως.

Ὁ ἀρχιστράτηγος τὰ Ἀβάκια, ὁ πλησίον τοῦ Ξηρολόφου, ἐκτίσθη παρὰ Λεωμακέλου. ἐκλήθη δὲ οὕτω διὰ τὸ εὑρεθῆναι ἐκεῖσε ἀβάκια παμμεγέθη καὶ ἀξιοθαύμαστα.

3 p. 59 Band. Δαματρύος C. 6 φλώρου Reg. Vat. 12 p. 47 Band. 15 μικροῦ] μεγάλου Reg. 17 p. 133 Band. 20 p. 133 Band. τὰ ἀβακηρὰ Vat., τοῦ ἀβακίου Reg.

comitabuntur, clamorem audient et strepitum populi remanentis in urbe.

Palatia Damatrii iidem imperatores aedificarunt. visitur autem ibi πήδημα Constantini, qui a matre Irene Attica excaecatus fuit.

Aedes Florentii et Callistrati duo germani fratres ita nominati exstruxerunt; quae post eorum mortem in monasteria mutatae fuerunt. hic post 428 annos tempore Irenae Atticae Paulus patriarcha, deposita patriarchali dignitate, requievit et post quattuor menses mortuus est.

Palatia Eleutheriana et officinas eadem Irene condidit. Hippodromum vero, qui inter aedes Eleutherianas et Amastrianas a secundo urbis conditore Theodosio iuniore exstructus erat, demolita est Augusta, eiusque loco pistrina aedificavit.

Thermas magnas, quae sunt prope Bovem, exstruxit Nicetas eunuchus et praefectus mensae tempore Theophili imperatoris.

Templum B. archangeli Michaelis nuncupatum ad Abacos, quod est prope Xerolophum, aedificavit Leo Macelas. ita vero nominatum est, quod ibi inventi fuerint Abaci magnitudinis admirandae.

Ἡ παναγία θεοτόκος τὸ Κρύσταλλον διὰ τοῦτο οὕτως C ἐκλήθη, ὅτι τοῦ Λεωμακέλου ἐκεῖσε διερχομένου ἐφ' ἵππῳ χειμῶνος ὄντος κρύσταλλον ἔπεσε καὶ ἔδωκεν αὐτόν.

Περὶ δὲ τῶν Ἠρίων λέγεται ὅτι οἱ ἀποθνήσκοντες τῶν πολιτῶν πρὸ τοῦ κτισθῆναι τὸν ἅγιον Λουκᾶν ἐκεῖσε ἐθάπτοντο. ἔκτισε δὲ ἐκεῖσε ναὸν τοῦ ἁγίου Γρηγορίου ὁ μέγας Κωνσταντῖνος. ἰστέον ὅτι καὶ πρῶτον εἰς τὸ Βυζάντιον ἐλθὼν ὁ ἅγιος Ἀνδρέας ἐκεῖσε ἐκάθισε καὶ ἐδίδασκεν, εἶτα ἐχειροτόνησε τὸν ἅγιον Στάχυν εἰς τὴν ἁγίαν Εἰρήνην τοῦ Γαλάτου πέραθεν· ἐκλήθη δὲ οὕτως ἀπό τινος Γαλάτου ἀνδρὸς ἐκεῖσε οἰκοῦντος. ὁ δὲ ἅγιος Ἀνδρέας πρὸ τοῦ μεγάλου Κωνσταντίνου ἦλθεν εἰς τὸ Βυζάντιον, καὶ εἰς τὰ λεγόμενα Ἁρματίου ἐποίησε τὴν σκηνὴν αὐτοῦ καὶ ἐκάθητο D διδάσκων. ἐποίησε δὲ καὶ σταυρὸν ἰδιοχείρως, λατομήσας αὐτὸν καὶ γλύψας, ὃν ἔστησεν εἰς τὴν ἁγίαν Εἰρήνην τὴν παλαιάν. μετὰ δὲ ταῦτα ἦλθεν εἰς τὸ νεώριον, εἰς τὸ καλούμενον κεράτεμβολον, καὶ ἐδίδασκε κἀκεῖσε. ἐκλήθη δὲ οὕτως ὁ τοιοῦτος ἔμβολος, διότι στήλη τις ἦν, καὶ ἐπάνω αὐτῆς ἵστατο ζῴδιον ἔχον ἐν τῇ κεφαλῇ τέσσαρα κέρατα, καὶ θαῦμα ἐγένετο ἐν αὐτῷ· ὅστις γὰρ εἶχεν ὑπόληψιν τοῦ εἶναι κερατίαν, ἡνίκα ἐλθὼν προσήγγιζε τῇ στήλῃ, εἰ ἦν ὡς ὑπελαμβάνετο, ἐγύριζεν ἡ στήλη P 60 ἐκ τρίτου, εἰ δὲ οὐκ ἦν, ἵστατο σιγῇ.

1 p. 133 Band. 5 πρὸ — Λουκᾶν om Reg. 9 πέραθεν om Reg. 17 διότι χαλκῆ ἀψὶς ἦν ἐκεῖσε καὶ ἐπάνω στήλη ἵστατο ἔχουσα ἐν Reg. 21 σιγῇ] σιωπηρῶς Reg.

Ecclesia S. deiparae ad glaciem inde cognomen habet, quod Leonem Macelam equo illac transvehentem hiemali tempore glacies delapsa afflixerit.

De loco nuncupato Erio referunt olim cives ibi sepeliri solitos, antequam conderetur coemeterium S. Lucae. ibidem Constantinus magnus templum S. Georgii condidit. sciendum est quod S. Andreas apostolus Byzantium veniens primum in eo loco consederit atque docuerit, et deinde ordinaverit S. Stachyn episcopum ecclesiae S. Irenae trans fretum, in loco qui a Galata quodam ibi habitante Galata vocatur. S. Andreas autem ante Constantinum magnum Byzantium venit, et in loco qui dicitur Harmatii tabernaculum struxit, atque ibi docuit. sculpsit etiam propria manu signum crucis ex lapide, collocavitque in ecclesia antiqua S. Irenae. postea migravit in Neorium, et ibi quoque docuit in porticu quae cornuta ob hanc causam vocatur. stabat ibi columnae imposita statua quattuor cornua in capite gerens. quisquis igitur suspectam habebat pudicitiam uxoris, ad hanc statuam accedebat, et si res ita se haberet ut suspicabatur, ter in gyrum se vertebat statua; sin minus, stabat immobilis.

Ὁ τρίκλινος τοῦ μεγάλου Κωνσταντίνου λέγεται Μαναῦρα διὰ τὸν τρόπον τοιοῦτον. Ἀναστάσιος βασιλεὺς ὁ δίκορος τῷ κς' ἔτει τῆς βασιλείας αὐτοῦ καὶ τῷ τετάρτῳ μηνί, βροντῶν καὶ ἀστραπῶν περὶ τὸ παλάτιον εἰλουμένων, ἀδημονῶν καὶ μὴ φέρων ἐκ τόπου εἰς τόπον ἔφευγε. καὶ δὴ εἰσελθόντα εἰς τὸν τοιοῦτον τρίκλινον κατέλαβεν ἐκεῖσε αὐτὸν ἡ ὀργὴ τοῦ θεοῦ· ὑπὸ γὰρ βροντῆς βιαίας καὶ κεραυνοῦ ἀπέψυξε καὶ ἐγένετο πυρίκαυστος.
B ὅτε δὲ ἀπέθνησκε, φωνῇ μεγάλῃ ἔφη "ὦ Μανᾶ, ὑπὸ αὔρας ἀπόλλυμαι." καὶ διὰ τοῦτο ἐκλήθη ὁ τρίκλινος Μαναῦρα.

Τὸ Σίγμα τὴν θεοτόκον πρῶτον μὲν ὁ μέγας Κωνσταντῖνος ἔκτισεν, εἶτα δὲ Ἰουστινιανὸς ὁ μέγας ἀνέκτισε. μετὰ δὲ τριακόσια εἴκοσι ὀκτὼ ἔτη ἐν τῇ αὐτοκρατορίᾳ Βασιλείου τοῦ Μακεδόνος, σεισμοῦ μεγάλου γεγονότος, συνεπτώθη παντελῶς ὁ ναός, ἐν ἡμέρᾳ κυριακῇ, μηνὸς Ἰανουαρίου θ', τοῦ ἁγίου Πολυεύκτου, καὶ τοὺς ἐκεῖσε ἀνθρώπους διέφθειρε, καὶ ἐκτότε ἐκλήθη σεῖσμα ἢ σῆμα. ἰδιωτικῶς δὲ καλοῦσι σίγμα.

C Τὸν μικρὸν ἀρχιστράτηγον τὴν νέαν Ζήνων καὶ Ἀριάδνη ἀνήγειραν.

Τὴν γυναικείαν μονὴν τῆς Προκοπίας ὁ θεῖος τοῦ μεγάλου Ἰουστινιανοῦ ἔκτισε σὺν τῇ γυναικὶ αὐτοῦ Εὐφημίᾳ, ἔνθα καὶ θανὼν ἐτάφη.

1 p. 10 Band. *Μαγναῦρα* C. 7 *καὶ κεραυνοῦ*] *κεραυνωθεὶς πυρίκαυστος γέγονεν. ὅτε δὲ ἔμελλε θνήσκειν* Reg. 8 *ὦ μάνα αὔρα ὑπὸ αὔρας* Reg. 10 p. 52 Band. *τὸ Σίγμα*] *τὴν θεοτόκον τὴν εἰς τὸ σίγμα* C. 16 *σῆμα ἤγουν τάφος* Vat. 17 p. 133 Band. 18 *συνήγειραν* vulgo. 19 p. 133 Band. *γυναικείην* BL.

Triclinium magni Constantini propterea Manaura dicitur. cum imperator Anastasius Dicorus 26 annos et 4 menses imperasset, accidit ut tonitrua et fulgura circum undique palatium vehementer impeterent. quare consternatus imperator, et hinc inde prae formidine cursitans, in hoc demum triclinio numinis ira perculsus et penetrabili fulminis ictu ambustus fuit. moribundus autem extrema haec verba magna voce protulit "o Mana, aura pereo," atque hinc triclinium illud Manaurae nomen retinuit.

Ecclesiam S. dei genitricis quae vocatur Sigma, Constantinus magnus primo condidit, deinde Iustinianus magnus restauravit. post annos autem 328, imperante Basilio Macedone, magno terrae motu totum hoc templum collapsum est, die dominico, qui nonus erat Ianuarii et S. Polyeucto sacer. hac ruina omnes, quotquot in eo erant, oppressi sunt, et templum inde cognominatum fuit Sisma, id est conquassatio, sive Sema, id est sepulcrum. vulgo autem vocatur Sigma.

Ecclesiam novam B. archangeli Zeno et Ariadne aedificarunt.

Monasterium Procopiae sanctimonialium patruus Iustiniani magni cum uxore Euphemia condidit, et post obitum ibidem sepultus est.

Ἡ χώρα πρῶτον μὲν εὐκτήριον ἦν, Πρίσκος δὲ ὁ ἔπαρχος καὶ γαμβρὸς Φωκᾶ τοῦ τυράννου περιορισθεὶς ἐκεῖ παρὰ τοῦ ἰδίου ἔκτισε ταύτην μονὴν εἰς κάλλος καὶ μέγεθος, ἀποχαρισάμενος καὶ κτήματα πολλά. ἐκλήθη δὲ χώρα, διότι τῶν Βυζαντίων χωρίον ἦν ἐκεῖ, καθὰ καὶ ἡ τοῦ Στουδίου μονὴ ἔξω τῆς πόλεως ὑπῆρχεν, καὶ ἡ μονὴ τοῦ Ξηροκεράμου.

Ὁ ἅγιος Μάμας ἐκτίσθη παρὰ τῆς ἀδελφῆς Μαυρικίου τοῦ βασιλέως· μετὰ γὰρ τὸ ἀναιρεθῆναι παρὰ τοῦ Φωκᾶ τὸν D *Μαυρίκιον ἅμα τοῖς τέκνοις αὐτοῦ λαβοῦσα τὰ σώματα αὐτῶν κατέθετο ἐκεῖσε. ἡ δὲ σύμβιος Μαυρικίου μετὰ τῶν θυγατέρων αὐτῆς ἐφρουρεῖτο παρὰ τῶν τοῦ Φωκᾶ ἐν τῇ νέᾳ καλουμένῃ μονῇ πρὸς ὀλίγον τινὰ καιρόν. ὕστερον δὲ ἀνῃρέθη παρ' αὐτοῦ καὶ αὐτὴ διὰ ξίφους ἀποτμηθεῖσα, καὶ πᾶσα ἡ συγγένεια Μαυρικίου, καὶ τῇ θαλάσσῃ ἐρρίφησαν.*

Τὴν μονὴν τῆς ἁγίας Εὐφημίας καὶ τοὺς τάφους τοὺς ὄντας ἐν τῷ Πετρίῳ καὶ τὸ λουτρὸν Βασίλειος ὁ Μακεδὼν ἀνήγειρε, καὶ τὰς θυγατέρας αὐτοῦ ἐκεῖσε ἀπέκειρε.

1 p. 54 Band. *Κρίσπος* C. 2 Φωκᾶ] τοῦ Καππάδοκος καὶ ἀπηνοῦς Φωκᾶ C. περιωρίσθη ἐκεῖσε, ὅτι ἐν ὑπολήψει γέγονε τοῦ Ἡρακλείου τοῦ βασιλέως. καὶ γὰρ καὶ αὐτῷ συγκροτήσας ὁ αὐτὸς Κρίσπος, καὶ κρατήσας διὰ τῆς θαλάσσης τὴν βασιλείαν, γαμβρὸς τυγχάνων Φωκᾶ. καὶ μετὰ τοῦτο βασιλέως γράμματα κατ' αὐτοῦ δεξάμενος ὁ Ἡράκλειος ἔφη αὐτῷ οὕτως "ἄθλιε, γαμβρὸν οὐκ ἐποίησας, καὶ πῶς ἀληθῆ φίλον ποιήσεις;" διὰ ταῦτα οὖν ἐκεῖσε περιορισθεὶς C. 5 χώρα Reg. καὶ τὰ Στουδίου χωρίον καὶ αὐτὸ ὑπῆρχεν C. 6 ἡ μονὴ τοῦ ξηροκ. ὁ ἅγιος μάμας uno tenore Vat. 7 p. 54 Band. ὁ ἅγιος] ἡ δὲ μονὴ ἡ ξυλόκερκος ὁ ἅγιος C. 8 παρὰ τοῦ Φ.] εἰς τὸν εὐτροπίου λιμένα C. 15 p. 39 et 133 Band.

Monasterium Chorae prius oratorium erat. postquam vero Priscus praefectus et gener Phocae tyranni eo relegatus fuit, sua impensa magnum et pulchrum monasterium eius loco exstruxit, multasque possessiones ei largitus est. cognominatur autem hoc monasterium Chora, quod ibi olim ager seu praedium esset; quemadmodum etiam monasteria Studii et Xerocerami extra urbem sita erant.

Templum S. Mamantis condidit soror Mauricii imperatoris. illa enim, Mauricio et liberis eius a Phoca tyranno interfectis, corpora eorum collegit atque ibi deposuit. caeterum uxor Mauricii cum suis filiabus primum quidem a Phoca aliquantulum in monasterio dicto novo inclusa fuit. postea autem et ipsa et universa Mauricii cognatio ferro ab eo interempta est et in mare proiecta.

Monasterium S. Euphemiae et sepulcra, quae sunt in Petrio, Basilius Macedo condidit, et filias suas ibidem attondit.

P 61 Τὴν ἁγίαν Ζωὴν τὴν οὖσαν εἰς Μωκισίαν ὁ ὅσιος ἀνήγειρε Μαρκιανός, οὗ καὶ θανὼν κατετέθη.

Τοὺς ἁγίους νοταρίους ὁ μέγας Θεοδόσιος ἀνήγειρε καὶ κτήματα πολλὰ ἐπεκύρωσε.

Τὸν ναὸν τῶν ἁγίων Μανουὴλ Σαβὲλ καὶ Ἰσμαὴλ ἐπὶ τὸ χερσαῖον τεῖχος ὁ μέγας ἀνήγειρε Θεοδόσιος· μετὰ γὰρ τὸ καυθῆναι αὐτοὺς παρὰ τοῦ παραβάτου Ἰουλιανοῦ τὰ σώματα αὐτῶν ἐκεῖ κατέθετο, ἐπεὶ ἐν τούτῳ τῷ τόπῳ ἀνηρέθησαν οἱ ἅγιοι.

Τὴν δὲ παλαιὰν λεγομένην πόρταν ὁ μέγας Κωνσταντῖνος ἀνήγειρε, καὶ ἕως ἐκεῖ ἦν τὸ ἀρχαῖον καὶ παρ' αὐτοῦ κτισθὲν χερσαῖον τεῖχος.

B Τὸν ἅγιον Ἐλευθέριον Βασίλειός τις ἐν τοῖς χρόνοις Ἀρκαδίου ἀνήγειρε.

Αἱ δύο μοναὶ τῆς ἁγίας Δομνίνας, ἥ τε ἐπονομάζεται τὰ Ἀλεξάνδρου, καὶ ἡ ἄλλη ἣ λέγεται τὰ Μαύρας, ἐν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου ἐκτίσθησαν. ἐλθοῦσαι γὰρ ἀπὸ Ῥώμης εὗρον ἄοικον τὸν τόπον, καὶ αἰτησάμεναι τὸν βασιλέα, δέδωκεν αὐταῖς τὸν τόπον καὶ συνδρομήν, καὶ ἀνήγειραν τὰς μονάς.

1 p. 51 Band. 3 p. 52 Band. 4 κτ. π. ἐπεκ.] τὰ σώματα αὐτῶν ἐκεῖσε ἔθετο C. 5 p. 52 Band. 7 ἰουλιανοῦ τοῦ χοίρου Reg. 9 p. 52 Band. τὴν δὲ] τὸν δὲ πρόδρομον τὴν παλαιὰν ἀνήγειρεν ὁ μέγας Κωνσταντῖνος. τὸ δὲ κτίσμα ἠκούμβιζεν εἰς τὸ χερσαῖον τεῖχος. CReg. πόρταν] πέτραν nonnulli. 12 p. 52 Band. Βασίλειός] πατρίκιός C. 14 p. 53 Band. αἱ — p. 123 v. 2 Δίου καλουμένην om Vat. 15 Μαύρας] Γρηγορίας C. 18 καὶ συνδρομήν om C.

Ecclesiam S. Zotici prope cisternam Mocisiam prius imperator Marcianus exstruxit; in qua etiam mortui corpus depositum fuit.

Templum S. Notariorum Theodosius aedificavit et multis ditavit possessionibus.

Ecclesiam SS. Manuel Sabel et Ismael, quae sita est ad murum terrestrem, Theodosius magnus condidit. postquam enim a Iuliano apostata fuerunt cremati, reliquiae eorum ibidem in loco supplicii depositae sunt.

Portam quae vocatur Antiqua, Constantinus magnus exstruxit. eo enim usque antiquus et ab eo erectus murus terrestris pertingebat.

Templum S. Eleutherii Basilius quidam tempore Arcadii aedificavit.

Duo monasteria, quorum unum S. Domninae cognomento Alexandri, alterum vero S. Maurae dicitur, tempore Theodosii magni condita fuerunt. tunc enim sanctae illae feminae Roma venerunt, et impetrata ab imperatore loci huius tunc inhabitati copia monasteria ibi aedificarunt.

ὡσαύτως καὶ ὁ ὅσιος Δῖος αἰτησάμενος τὸν βασιλέα, τόπον λαβών, ἔκτισε τὴν μονὴν τοῦ Δίου καλουμένην.

Ἡ μονὴ ἡ λεγομένη τὸ Μυροκέρατον ἐκτίσθη ἐν τοῖς χρόνοις Μαρκιανοῦ τοῦ βασιλέως. φασὶ δὲ πολλοὶ τῶν ἱστορικῶν C ὅτι τὸ κέρας ἐκεῖνο τοῦ ἐλαίου, ᾧ ἔχριε Σαμουὴλ ὁ προφήτης τοὺς βασιλέας, εἰς τὴν τοιαύτην μονὴν ἐκρεμᾶτο, καὶ διὰ τοῦτο ἐκλήθη Μυροκέρατον.

Ἡ μονὴ τοῦ Ξυλινίτου ἐκτίσθη παρὰ μαγίστρου Νικήτα ἐν τοῖς χρόνοις Λέοντος τοῦ Συρογενοῦς τοῦ πατρὸς Καβαλίνου, παρ' οὗ καὶ ἀπεκεφαλίσθη εἰς τὸν σφενδόνα. ἔχει δὲ τὸ ὄνομα ἡ μονὴ διὰ τὸ τὰς μοναζούσας χρᾶσθαι εἰς ὑπόδεσιν τοῖς οὕτω καλουμένοις ξυλίνοις.

Ἡ μονὴ τῆς Εἰκασίας ἐκτίσθη παρὰ Εἰκασίας μοναχῆς εὐσεβεστάτης καὶ παρθένου ὡραίας τῷ εἴδει, ἥτις σοφωτάτη οὖσα καὶ κανόνας πολλοὺς καὶ στιχηρὰ καὶ ἄλλα τινὰ ἀξιοθαύ- D μαστα ἐποίησε καὶ ἐμελῴδησεν ἐν τοῖς χρόνοις Θεοφίλου τοῦ βασιλέως.

Τὰ Σμαράγδου ἐκτίσθη παρὰ Σμαράγδου πατρικίου καὶ στρατηγοῦ ἐν τοῖς χρόνοις Τιβερίου τοῦ Θρᾳκός. οὕτως δὲ ἐκλήθη, ἐπεὶ οἶκος ἦν αὐτοῦ ἐκεῖ.

3 p. 53 Band. μυριοκέρατον plerique. 4 Μαυρικίου C. 8 p. 53 Band. 10 τὴν σφενδόνην δι' ἐπιβουλήν Reg. 13 p. 53 Band. παρὰ Εἰκ.] παρ' αὐτῆς μοναχῆς γεγοννίας, ὅτε τῆς βασιλείας ἀπέτυχε παρὰ Θεοφίλου βασιλέως, σεβασμίας καὶ ὡραίας τυγχανούσης. ἥτις καὶ κανόνας καὶ στιχηρὰ ποιήσασα ἐν τοῖς χρόνοις Μιχαὴλ καὶ Θεοφίλου τοῦ πατρὸς αὐτοῦ ἔζη ἐν αὐτῇ. C. 18 p. 133 Band. τὰ σμ. σὺν τῷ λουτρῷ ἐκτ. Reg.

similiter etiam S. Dius locum ab imperatore petiit, et monasterium in eo exstruxit, quod vocatur Dii.

Monasterium quod vocatur Myrioceratum, tempore Marciani imperatoris conditum fuit. referunt autem multi historici fuisse in hoc monasterio suspensum cornu olei, quo propheta Samuel reges Iudaeorum inunxit, atque hinc ita nominatum esse monasterium.

Monasterium Xylinitae Nicetas magister condidit tempore Leonis patris Constantini Caballini, a quo etiam decollatus fuit in sphendone Hippodromi. nomen vero Xylinitae inde habet hoc monasterium, quod monachae loco calceorum soleis ligneis uterentur.

Monasterium Icasiae aedificavit Icasia virgo sanctimonialis piissima et pulcherrima, quae valde erudita fuit, et multos hymnos et stichera et alia quaedam admirabiliter composuit tempore Theophili imperatoris.

Monasterium Smaragdi Smaragdus patricius et praefectus militum tempore Tiberii Thracis condidit, cuius illic domus fuit.

Ὁ ἅγιος Μάρκος ὁ πλησίον τοῦ Ταύρου ἐκκλησία ἦν μεγάλη ξυλότρουλλος, κτισθεῖσα ὑπὸ Θεοδοσίου τοῦ μεγάλου. εἶτα ὑπὸ σεισμοῦ κατενεχθεῖσαν ἀνήγειρεν αὐτὴν Ῥωμανὸς ὁ γέρων ὁ Λακαπηνός.

Χαλκοῦς δὲ κώνωψ καὶ μυῖα καὶ ἄλλα μικρὰ ζωΰφια ἐπάνω τῆς δυτικῆς ἁψῖδος τοῦ Ταύρου ἵσταντο, ἐστοιχειωμένα παρὰ Ἀπολλωνίου τοῦ Τυανέως. καὶ ἕως μὲν οὖν ἵσταντο, οὐκ ἐφοί- P 62 των τῇ πόλει μυῖαι ἢ ψύλλοι ἢ κώνωπες· ὁ δὲ βασιλεὺς Βασίλειος ἐξ οἰκείας ἀγνοίας κατήγαγε καὶ ἠφάνισεν αὐτά.

Ἡ δὲ γυναικοειδὴς στήλη ἡ χαλκῆ, ἡ ἱσταμένη εἰς τὴν φιάλην τοῦ ἱπποδρομίου, εἰς τὸ στυράκιον, Εἰρήνης ἐστὶ τῆς Ἀθηναίας, ἣν ἀνήγειρε Κωνσταντῖνος ὁ υἱὸς αὐτῆς εἰς θεραπείαν αὐτῆς.

Ὁ τόπος ὃς καλεῖται τὰ νεκρά, οὕτως ἔλαβε τὸ ἐπώνυμον, ὅτι τὰ σώματα τῶν ἀναιρεθέντων πολιτῶν ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου ἐν τῷ ἱπποδρομίῳ ἐκεῖσε ἐτέθησαν διὰ τὸ μὴ χωρεῖν ἀλλαχόθι θάψαι αὐτά. ἀπέφραξε δὲ καὶ τὰ σκάλια ἀπὸ τοῦ B παραθύρου καὶ μέχρι τοῦ καμιλαυκίου, καὶ οὕτως ἐτίθουν τὰ σώματα τῶν νεκρῶν.

1 p. 36 Band. 5 p. 36 Band. χαλκοῦς] ἀλλὰ καὶ κωνωπίων ἐστοιχειώθη καὶ ἵστατο ἐστηλωμένος χαλκοῦς ἐπάνω τῆς δυτικῆς ἁψῖδος τοῦ αὐτοῦ ταύρου. ἦν δὲ κώνωψ καὶ μυῖα καὶ τὰ ἄλλα ζωΰφια, καὶ ἐξ αὐτῶν οὐκ ἀπεφοίτα τι τῇ πόλει. ἀλλ' ὁ βασιλεὺς Βασίλειος ἠφάνισε συντρίψας. Reg. 10 p. 42 Band. 14 p. 42 Band. ὁ τόπος ὃς καλ.] ἡ δὲ καλουμένη νεκρὰ CReg. 17 τὰς σκάλας Reg. 18 πρωτοθύρου C, πρώτης θύρας Reg. καμελαύχου C.

Ecclesiam S. Marci prope Taurum primo Theodosius magnus cum trullo ligneo exstruxit: postea terrae motu collapsam reaedificavit Romanus senior cognomine Lecapenus.

Aereus culex et musca et alia insecta supra occidentalem arcum Tauri ab Apollonio Tyaneo posita erant. quamdiu autem illa permanserunt integra, nec muscae, nec pulices, nec culices urbem intrarunt. caeterum imperator Basilius Macedo ea deiecit atque confregit.

Statua muliebris aerea, posita in Phiala Hippodromi, Irenae Atticae est, quam in honorem eius Constantinus filius posuit.

Locus nuncupatus Necra sive Cadaverum, ex eo nomen habet, quod sub Iustiniano magno civium supplicio affectorum cadavera ibi deponerentur. alibi enim ea sepeliri vetitum erat. idem vero scalas ab ostio laterali usque ad Camilaucium muro seiunxit atque ita defunctorum corpora ibi condebant.

Τὰ δὲ παμμεγεθέστατα κτίσματα εἰς τὸν ἅγιον Σέργιον οἶκοι ἦσαν Ἰουστινιανοῦ τοῦ μεγάλου ἔτι ὄντος αὐτοῦ πατρικίου.

Εἰς τὸν ναὸν τῆς θεοτόκου τὰ Πατρικίας, γέγραπται ὅτι ὅτε ἤρχοντο οἱ βασιλεῖς μετὰ τῶν δεσποινῶν ἐπὶ προελεύσεως εἰς τὴν ἁγίαν Σοφίαν, ἐν τῷ τοιούτῳ τόπῳ ἵσταντο· ἦν γὰρ οἶκος ἐκεῖσε μέγας κτισθεὶς παρὰ τοῦ μεγάλου Κωνσταντίνου. καὶ οἱ μὲν πατρίκιοι καὶ πραιπόσιτοι ἐκεῖσε ἤλασαν καὶ ἐζώννυον τὸν βασιλέα. ὁμοίως καὶ αἱ ζωσταὶ ἐζώννυον τὴν δέσποιναν.

Τὰ Βασιλίδου ὁ ἅγιος Νικόλαος οἶκος ἦν πατρικίου Βασι- C
λίδου καλουμένου καὶ κοιαίστορος τοῦ μεγάλου Ἰουστινιανοῦ.

Αἱ χαλκαῖ πύλαι, αἱ πρότερον μὲν ἱστάμεναι εἰς τὸ Τρικύμβαλον τοῦ τζυκανιστηρίου, ἐπήρθησαν παρὰ Βασιλείου τοῦ Μακεδόνος ἀπὸ τοῦ ἐμβόλου τοῦ φόρου εἰς τὴν νέαν.

Ἡ μονὴ τῶν Δαλμάτου παρὰ Δαλμάτου πατρικίου ἐκτίσθη, ἐξ οὗ καὶ Ἀψίμαρος, ὃς καὶ Τιβέριος, ὅτε ἀνῆλθε μετὰ τῶν χελανδίων καὶ ἐκράτησε τῆς βασιλείας, τὸν βασιλέα Λεόντιον καταγαγὼν καὶ περιορίσας ἐκεῖσε, εἶτα ῥινοκοπήσας ἐν τῇ τοιαύτῃ ἐφρούρει μονῇ.

1 p. 42 Band. 8 p. 29 Band. γέγραπται ὅτι] ὄπισθεν τῆς ἁγίας Σοφίας C. 5 ἁγίαν τοῦ θεοῦ λόγου σοφίαν Reg. 8 καὶ] καὶ αἱ πατρίκιαι C. 9 p. 30 Band. τὰ Βασιλίδου] τὰ Βασιλίδος, omissis ὁ ἅγιος Νικόλαος, C. 11 p. 23 Band. τὸ] τὴν C. 13 τῶν ἐμβόλων τοῦ φόρου τῶν χαλιναρίων. ἐστάθησαν δὲ παρὰ τοῦ μεγάλου Κωνσταντίνου ἀντικρὺ τοῦ Σενάτου. κτίσας δὲ τὴν νέαν ἐπῆρε ταύτας καὶ ἀπῆγεν ἐκεῖσε. C. 14 p. 50 Band. τῶν] τὰ C. 15 ἐξ] ἀνεψιοῦ τοῦ μεγάλου Κωνσταντίνου, ἐξ C. 16 τὸν βασιλέα] τὸν λέοντα Vat., τὸν ἰουστινιανὸν Reg.

Maxima illa aedificia, prope templum S. Sergii, aedes fuerunt Iustiniani magni, cum patricius adhuc esset.

De ecclesiae S. deiparae cognomine Patriciae memoriae proditum est imperatores et Augustas tempore processionis ad S. Sophiam ibi stationem facere consuevisse. etenim illic amplissimum erat palatium, a Constantino magno exstructum. huc igitur accedebant patricii et praepositi, et succingebant imperatorem: matronae vero, quae vocantur Zostae, imperatricem.

Templum S. Nicolai cognominatum Basilidae, domus erat Basilidae patricii et quaestoris Iustiniani magni.

Portae aereae, quae prius stabant in Tricymbalo Tzycanisterii, a Basilio Macedone ex porticu fori in ecclesiam novam translatae fuerunt.

Monasterium Dalmatae, Dalmata patricius condidit. quare etiam Tiberius Apsimarus, postquam cum chelandiis suis Byzantium pervenit, et imperio potitus est, Leontium imperatorem, naso praeciso, in hoc monasterio inclusum custodivit.

καθαρὰν ἔβρεξεν, ὡς κεῖσθαι ἐν τοῖς κεράμοις μέχρι σπιθαμῆς. τότε δὲ καὶ ὁ ὅσιος Δανιὴλ ἐν τῷ Ἀνάπλῳ ἦν.

Τὸν ἅγιον Ταράσιον τὴν μονήν, λέγουσιν ὅτι ὁ ἅγιος Ταράσιος ὁ πατριάρχης ἐκεῖσε ἐτέθη καὶ μετὰ τὸν θάνατον αὐτοῦ ἐγένετο μονή.

B Τὴν μονὴν τὰ Δαμιανοῦ Δαμιανὸς παρακοιμώμενος ὁ Σθλαβὸς ἔκτισεν ἐν τοῖς χρόνοις Θεοφίλου τοῦ εἰκονομάχου καὶ Μιχαὴλ τοῦ υἱοῦ αὐτοῦ.

Τὸν ἅγιον Φωκᾶν πέρα Βασίλειος ὁ Μακεδὼν ἔκτισε. ὁμοίως καὶ τὴν θεοτόκον ἐν τῷ φόρῳ, καὶ τὴν νέαν εἰς τὸ παλάτιον, καὶ τὰ παλάτια πέρα τῶν πηγῶν.

Ἡ δὲ πέραθεν τοῦ στενοῦ λεγομένου ἐκκλησία χρυσοκέραμος παρὰ Ἰουστίνου καὶ Σοφίας τῶν εὐσεβεστάτων βασιλέων ἐκτίσθη, καὶ ὁ ἅγιος Παῦλος τὸ ὀρφανοτροφεῖον, καὶ ὁ ὅσιος Ζωτικὸς ὁ εἰς τοὺς λωβούς, ἀλλὰ καὶ ὁ λιμὴν τῶν Σοφιῶν καὶ αἱ Σοφιαναὶ τὰ παλάτια πέρα τοῦ στενοῦ.

C Τὰ δὲ ζευκτὰ κιόνια παρὰ Ῥωμανοῦ τοῦ γέροντος ἀνηγέρθησαν καὶ εἶχον τοὺς τιμίους σταυρούς.

Τὰ δὲ Εὐτροπίου ὁ λιμὴν ἐκτίσθη παρὰ Εὐτροπίου πρωτοσπαθαρίου καὶ κοιαίστορος ἐν τοῖς χρόνοις Ζήνωνος καὶ Ἀναστα-

3 p. 58 Band. τὸν ἅγιον] τὸν δὲ ἅγιον Ταράσιον λέγουσιν εἶναι προάστειον τοῦ πατριάρχου Ταρασίου, καὶ ἀνέστησεν ἐν αὐτῷ μονήν. C. 6 p. 58 Band. τὰ Δαμιανοῦ] τὴν δαμιανοῦ καλουμένην Reg. 7 σκλάβος Vat. 9 p. 58 Band. πέρα om C. 11 πέρα om C. 17 p. 58 Band. ζευκτικὰ Vat. 18 σταυροὺς τοὺς ὄντας νῦν εἰς τὰ μαύρου Reg. 19 p. 59 Band. 20 χρόνοις Κωνσταντίνου τοῦ βασιλέως C.

ita ut ad spithamae altitudinem vasa eo replerentur. eodem S. Daniel in Anaplo degebat.

Monasterium S. Tarasii nomen habet a Tarasio patriarcha, qui ibi sepultus est. post obitum vero illius in monasterium mutatum fuit.

Monasterium Damiani Damianus accubitor natione Sthlavus condidit temporibus Theophili Iconomachi et Michaelis filii eius.

Ecclesiam S. Phocae trans fretum Basilius Macedo aedificavit; item S. deiparae templum in foro, et ecclesiam novam in palatio, et palatium ultra fontes.

Ecclesiam trans fretum sitam et auratis tegulis tectam piissimi principes Iustinus et Sophia condiderunt. item orphanotrophium S. Pauli et domum mutilatis recipiendis destinatam, quae dicitur S. Zotici, et portum Sophiae, et palatia Sophiana trans fretum.

Columellas iunctas, quibus signa crucis imposita erant, Romanus senior erexit.

Portum Eutropii condidit Eutropius protospatharius et quaestor

σίου τῶν βασιλέων· ἐν ᾧ λιμένι ἀπετμήθη τὴν κεφαλὴν Μαυρίκιος καὶ τὰ τέκνα αὐτοῦ καὶ ἡ γυνὴ παρὰ Φωκᾶ τοῦ τυράννου.

Τὰ Μακελίας ἀνήγειρε Λέων ὁ πρωτοασεκρήτης.

Ἐν δὲ τῇ μονῇ τῇ λεγομένῃ Πηλαμίδου στήλη ἵστατο μαρμάρινος, ἣν ἀνήγειρε Θεόφιλος ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ πορφυρογεννήτου.

Τὰ δὲ ἐν τῷ Ἡραίῳ παλάτια ἐκτίσθη παρὰ τοῦ μεγά- D
λου Ἰουστινιανοῦ· ὁ δὲ ἀνεψιὸς αὐτοῦ Ἰουστῖνος ἐκαλλώπισεν. Ἥραιον δὲ ἐκλήθη, ὅτι πάλαι τῆς Ἥρας ἦν ὁ ναὸς ἐκεῖ. ἢ Ἡρίον, ὅτι τὸ παλαιὸν ἐκεῖ ἐθάπτοντο οἱ πολῖται· καὶ δηλοῖ τοῦτο τὰ πολλὰ μαρμάρινα κιβούρια.

Τὰ εἰς τὸν Βρύαντα παλάτια Τιβέριος ὁ βασιλεὺς ἔκτισε καὶ ὁ γαμβρὸς αὐτοῦ Μαυρίκιος. ἐκλήθη δὲ Βρύας προφητικῇ ῥήσει διὰ τὸν μέλλοντα αὐτόθι ἀκουσθῆναι βρυγμὸν τῆς πόλεως· καὶ γὰρ ὁ ταύτης τῆς πόλεως ἔσχατος βασιλεὺς μέλλων ἐξελθεῖν προστάξει θεοῦ καὶ ἀπελθεῖν εἰς Ἱερουσαλὴμ καὶ ἀποδοῦναι τῷ κυρίῳ τὴν βασιλείαν τῶν Ῥωμαίων ἅμα τῷ διαδήματι αὐτοῦ, ἐπειδὰν γενήσεται ἐν τῷ τοιούτῳ βουνῷ τῷ Βρύαντι, μέλλει
ἀκοῦσαι μετὰ πάντων τῶν ἀκολουθούντων αὐτῷ τὴν βοὴν καὶ P 59

3 p. 59 Band. τὰ Μακ.] τῆς δὲ Μαλελίας τὴν μονὴν ἀνήγειρε Μαλέλιος ὁ πρωτοασηκρῆτις οὕτως καλούμενος C. μηλελίας Vat. 4 p. 59 Band. ἐν δὲ] τὴν δὲ πηλαμίδα ἀνήγειρε Λέων ὁ φιλόσοφος ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ μεγάλου C. 7 p. 59 Band. 8 Ἰουστῖνος] Ἰουστῖνος καὶ Σοφία ἐκαλλώπισαν αὐτά C. 12 p. 59 Band. τὰ εἰς] τοῦ δὲ Βρύαντος τὰ παλ. C. 13 Βρύας ὅτι μέλλοντος τοῦ ἐσχάτου ἐξελθεῖν βασιλέως καὶ κατοικίσαι εἰς Ἱερουσαλὴμ ἐν αὐτῷ Βρύαντι μέλλει ἀκοῦσαι βρυγμὸν καὶ τὴν βοὴν τοῦ κλαυθμῶνος τῆς πόλεως. C. 18 ἐν τῷ τοιούτῳ] ἐν αὐτῷ τῷ τόπῳ τοῦ βρύα Reg.

temporibus Zenonis et Anastasii imperatorum; ubi Mauricio et uxori eius atque liberis capita praecisa sunt.

Aedificium quod vocatur Maceliae, Leo protoasecretis exstruxit.

In monasterio dicto Pelamidae statua marmorea collocata erat, quam erexit Theophilus philosophus tempore Constantini Porphyrogeniti.

Palatia sita in Heraeo Iustinianus magnus aedificavit, quae postea exornavit Iustinus eius nepos. vocatur autem locus ille Heraeum, quod antiquitus ibi templum Iunonis esset; vel Erium, quoniam cives olim ibi sepeliebantur, uti etiam nunc testantur multa marmorea monumenta.

Palatia quae sunt in Bryante, Tiberius imperator et Mauricius eius gener aedificarunt. dictus autem est ille locus Bryas prophetico praesagio futuri urbis fremitus, qui ibi olim exaudietur. cum enim ultimus huius urbis imperator iussu divino ex urbe discedet et proficiscetur Hierosolymam, traditurus deo una cum suo diademate imperium Romanorum, tunc in hoc colle nominato Bryante ipse et omnes, qui eum

τὸν βρυγμὸν τοῦ ἐναπομείναντος λαοῦ, τῆς πόλεως ἤδη ποντιζομένης.

Τὰ τοῦ Δαματρίου παλάτια οἱ αὐτοὶ βασιλεῖς ἔκτισαν. ἔστι δὲ ἐκεῖσε τὸ πήδημα Κωνσταντίνου τοῦ υἱοῦ Εἰρήνης τῆς Ἀθηναίας, τοῦ τυφλωθέντος παρὰ τῆς μητρὸς αὐτοῦ.

Τὰ Φλωρεντίου καὶ τὰ Καλλιστράτου ἀπὸ δύο αὐταδέλφων οὕτω καλουμένων ἐκτίσθη. μετὰ δὲ τὸν θάνατον αὐτῶν ἐγένετο δύο μοναστήρια ἐν τοῖς χρόνοις Κωνσταντίνου τοῦ μεγάλου. μετὰ δὲ τετρακόσια καὶ εἴκοσι ὀκτὼ ἔτη Παῦλος πατριάρχης ἐν τοῖς χρόνοις Εἰρήνης τῆς Ἀθηναίας παρῃτήσατο, καὶ κατελθὼν τοῦ πατριαρχείου ἐκεῖσε ἡσυχήσας μετὰ μῆνας τέσσαρας τέθνηκε.

B Τὰ παλάτια τῶν Ἐλευθερίου καὶ τὰ ἐργοδόσια ἡ αὐτὴ Εἰρήνη ἔκτισεν. ἀπὸ δὲ τῶν Ἐλευθερίου παλατίων μέχρι τοῦ Ἀμαστριανοῦ ἱπποδρόμιον ἦν, παρὰ τοῦ δευτέρου κτίστορος τῆς πόλεως τοῦ μικροῦ Θεοδοσίου κατασκευασθέν, ὅπερ κατέλυσεν ἡ Ἀθηναία καὶ ἔκτισεν ἐν αὐτῷ τὰ πιστώρια.

Τὸ δὲ καλούμενον μέγα λουτρὸν πλησίον τοῦ βοὸς ἐκτίσθη παρὰ Νικήτα εὐνούχου καὶ ἐπὶ τῆς τραπέζης, ἐπὶ τοῖς χρόνοις Θεοφίλου τοῦ βασιλέως.

Ὁ ἀρχιστράτηγος τὰ Ἀβάκια, ὁ πλησίον τοῦ Ξηρολόφου, ἐκτίσθη παρὰ Λεωμακέλου. ἐκλήθη δὲ οὕτω διὰ τὸ εὑρεθῆναι ἐκεῖσε ἀβάκια παμμεγέθη καὶ ἀξιοθαύμαστα.

3 p. 59 Band. Δαματρύος C. 6 φλώρου Reg. Vat. 12 p. 47 Band. 15 μικροῦ] μεγάλου Reg. 17 p. 133 Band. 20 p. 133 Band. τὰ ἀβακηρὰ Vat., τοῦ ἀβακίου Reg.

comitabuntur, clamorem audient et strepitum populi remanentis in urbe.

Palatia Damatrii iidem imperatores aedificarunt. visitur autem ibi πήδημα Constantini, qui a matre Irene Attica excaecatus fuit.

Aedes Florentii et Callistrati duo germani fratres ita nominati exstruxerunt; quae post eorum mortem in monasteria mutatae fuerunt. hic post 428 annos tempore Irenae Atticae Paulus patriarcha, deposita patriarchali dignitate, requievit et post quattuor menses mortuus est.

Palatia Eleutheriana et officinas eadem Irene condidit. Hippodromum vero, qui inter aedes Eleutherianas et Amastrianas a secundo urbis conditore Theodosio iuniore exstructus erat, demolita est Augusta, eiusque loco pistrina aedificavit.

Thermas magnas, quae sunt prope Bovem, exstruxit Nicetas eunuchus et praefectus mensae tempore Theophili imperatoris.

Templum B. archangeli Michaelis nuncupatum ad Abacos, quod est prope Xerolophum, aedificavit Leo Macelas. ita vero nominatum est, quod ibi inventi fuerint Abaci magnitudinis admirandae.

Ἡ παναγία θεοτόκος τὸ Κρύσταλλον διὰ τοῦτο οὕτως C
ἐκλήθη, ὅτι τοῦ Λεωμακέλου ἐκεῖσε διερχομένου ἐφ' ἵππῳ χει-
μῶνος ὄντος κρύσταλλον ἔπεσε καὶ ἔδωκεν αὐτόν.
Περὶ δὲ τῶν Ἡρίων λέγεται ὅτι οἱ ἀποθνήσκοντες τῶν πο-
λιτῶν πρὸ τοῦ κτισθῆναι τὸν ἅγιον Λουκᾶν ἐκεῖσε ἐθάπτοντο.
ἔκτισε δὲ ἐκεῖσε ναὸν τοῦ ἁγίου Γρηγορίου ὁ μέγας Κωνσταντῖνος.
ἰστέον ὅτι καὶ πρῶτον εἰς τὸ Βυζάντιον ἐλθὼν ὁ ἅγιος Ἀνδρέας
ἐκεῖσε ἐκάθισε καὶ ἐδίδασκεν, εἶτα ἐχειροτόνησε τὸν ἅγιον Στάχυν
εἰς τὴν ἁγίαν Εἰρήνην τοῦ Γαλάτου πέραθεν· ἐκλήθη δὲ οὕτως
ἀπό τινος Γαλάτου ἀνδρὸς ἐκεῖσε οἰκοῦντος. ὁ δὲ ἅγιος Ἀνδρέας
πρὸ τοῦ μεγάλου Κωνσταντίνου ἦλθεν εἰς τὸ Βυζάντιον, καὶ εἰς
τὰ λεγόμενα Ἁρματίου ἐποίησε τὴν σκηνὴν αὐτοῦ καὶ ἐκάθητο D
διδάσκων. ἐποίησε δὲ καὶ σταυρὸν ἰδιοχείρως, λατομήσας αὐ-
τὸν καὶ γλύψας, ὃν ἔστησεν εἰς τὴν ἁγίαν Εἰρήνην τὴν παλαιάν.
μετὰ δὲ ταῦτα ἦλθεν εἰς τὸ νεώριον, εἰς τὸ καλούμενον κερα-
τέμβολον, καὶ ἐδίδασκε κἀκεῖσε. ἐκλήθη δὲ οὕτως ὁ τοιοῦτος
ἔμβολος, διότι στήλη τις ἦν, καὶ ἐπάνω αὐτῆς ἵστατο ζώδιον
ἔχον ἐν τῇ κεφαλῇ τέσσαρα κέρατα, καὶ θαῦμα ἐγένετο ἐν αὐτῷ·
ὅστις γὰρ εἶχεν ὑπόληψιν τοῦ εἶναι κερατίαν, ἡνίκα ἐλθὼν
προσήγγιζε τῇ στήλῃ, εἰ ἦν ὡς ὑπελαμβάνετο, ἐγύριζεν ἡ στήλη P 60
ἐκ τρίτου, εἰ δὲ οὐκ ἦν, ἵστατο σιγῇ.

1 p. 133 Band. 5 πρὸ — Λουκᾶν om Reg. 9 πέραθεν om Reg. 17 διότι χαλκῆ ἀψὶς ἦν ἐκεῖσε καὶ ἐπάνω στήλη ἵστατο ἔχουσα ἐν Reg. 21 σιγῇ] σιωπηρῶς Reg.

Ecclesia S. deiparae ad glaciem inde cognomen habet, quod Leonem Maccelam equo illac transvehentem hiemali tempore glacies delapsa afflixerit.

De loco nuncupato Erio referunt olim cives ibi sepeliri solitos, antequam conderetur coemeterium S. Lucae. ibidem Constantinus magnus templum S. Georgii condidit. sciendum est quod S. Andreas apostolus Byzantium veniens primum in eo loco consederit atque docuerit, et deinde ordinaverit S. Stachyn episcopum ecclesiae S. Irenae trans fretum, in loco qui a Galata quodam ibi habitante Galata vocatur. S. Andreas autem ante Constantinum magnum Byzantium venit, et in loco qui dicitur Harmatii tabernaculum struxit, atque ibi docuit. sculpsit etiam propria manu signum crucis ex lapide, collocavitque in ecclesia antiqua S. Irenae. postea migravit in Neorium, et ibi quoque docuit in porticu quae cornuta ob hanc causam vocatur. stabat ibi columnae imposita statua quattuor cornua in capite gerens. quisquis igitur suspectam habebat pudicitiam uxoris, ad hanc statuam accedebat, et si res ita se haberet ut suspicabatur, ter in gyrum se vertebat statua; sin minus, stabat immobilis.

Ὁ τρίκλινος τοῦ μεγάλου Κωνσταντίνου λέγεται Μαναῦρα διὰ τὸν τρόπον τοιοῦτον. Ἀναστάσιος βασιλεὺς ὁ δίκορος τῷ κς´ ἔτει τῆς βασιλείας αὐτοῦ καὶ τῷ τετάρτῳ μηνί, βροντῶν καὶ ἀστραπῶν περὶ τὸ παλάτιον εἰλουμένων, ἀδημονῶν καὶ μὴ φέρων ἐκ τόπου εἰς τόπον ἔφευγε. καὶ δὴ εἰσελθόντα εἰς τὸν τοιοῦτον τρίκλινον κατέλαβεν ἐκεῖσε αὐτὸν ἡ ὀργὴ τοῦ θεοῦ· ὑπὸ γὰρ βροντῆς βιαίας καὶ κεραυνοῦ ἀπέψυξε καὶ ἐγένετο πυρίκαυστος.
B *ὅτε δὲ ἀπέθνησκε, φωνῇ μεγάλῃ ἔφη "ὦ Μανᾶ, ὑπὸ αὔρας ἀπόλλυμαι." καὶ διὰ τοῦτο ἐκλήθη ὁ τρίκλινος Μαναῦρα.*

Τὸ Σίγμα τὴν θεοτόκον πρῶτον μὲν ὁ μέγας Κωνσταντῖνος ἔκτισεν, εἶτα δὲ Ἰουστινιανὸς ὁ μέγας ἀνέκτισε. μετὰ δὲ τριακόσια εἴκοσι ὀκτὼ ἔτη ἐν τῇ αὐτοκρατορίᾳ Βασιλείου τοῦ Μακεδόνος, σεισμοῦ μεγάλου γεγονότος, συνεπτώθη παντελῶς ὁ ναός, ἐν ἡμέρᾳ κυριακῇ, μηνὸς Ἰανουαρίου θ´, τοῦ ἁγίου Πολυεύκτου, καὶ τοὺς ἐκεῖσε ἀνθρώπους διέφθειρε, καὶ ἐκτότε ἐκλήθη σεῖσμα ἢ σῆμα. ἰδιωτικῶς δὲ καλοῦσι σίγμα.

C *Τὸν μικρὸν ἀρχιστράτηγον τὴν νέαν Ζήνων καὶ Ἀριάδνη ἀνήγειραν.*

Τὴν γυναικείαν μονὴν τῆς Προκοπίας ὁ θεῖος τοῦ μεγάλου Ἰουστινιανοῦ ἔκτισε σὺν τῇ γυναικὶ αὐτοῦ Εὐφημίᾳ, ἔνθα καὶ θανὼν ἐτάφη.

1 p. 10 Band. *Μαγναῦρα* C. 7 *καὶ κεραυνοῦ*] *κεραυνωθεὶς πυρίκαυστος γέγονεν. ὅτε δὲ ἔμελλε θνήσκειν* Reg. 8 *ὦ μάνα αὖρα ὑπὸ αὔρας* Reg. 10 p. 52 Band. *τὸ Σίγμα*] *τὴν θεοτόκον τὴν εἰς τὸ σίγμα* C. 16 *σῆμα ἤγουν τάφος* Vat. 17 p. 133 Band. 18 *συνήγειραν* vulgo. 19 p. 133 Band. *γυναικείην* BL.

Triclinium magni Constantini propterea Manaura dicitur. cum imperator Anastasius Dicorus 26 annos et 4 menses imperasset, accidit ut tonitrua et fulgura circum undique palatium vehementer impeterent. quare consternatus imperator, et hinc inde prae formidine cursitans, in hoc demum triclinio numinis ira perculsus et penetrabili fulminis ictu ambustus fuit. moribundus autem extrema haec verba magna voce protulit "o Mana, aura pereo," atque hinc triclinium illud Manaurae nomen retinuit.

Ecclesiam S. dei genitricis quae vocatur Sigma, Constantinus magnus primo condidit, deinde Iustinianus magnus restauravit. post annos autem 328, imperante Basilio Macedone, magno terrae motu totum hoc templum collapsum est, die dominico, qui nonus erat Ianuarii et S. Polyeucto sacer. hac ruina omnes, quotquot in eo erant, oppressi sunt, et templum inde cognominatum fuit Sisma, id est conquassatio, sive Sema, id est sepulcrum. vulgo autem vocatur Sigma.

Ecclesiam novam B. archangeli Zeno et Ariadne aedificarunt.

Monasterium Procopiae sanctimonialium patruus Iustiniani magni cum uxore Euphemia condidit, et post obitum ibidem sepultus est.

Ἡ χώρα πρῶτον μὲν εὐκτήριον ἦν, Πρίσκος δὲ ὁ ἔπαρχος καὶ γαμβρὸς Φωκᾶ τοῦ τυράννου περιορισθεὶς ἐκεῖ παρὰ τοῦ ἰδίου ἔκτισε ταύτην μονὴν εἰς κάλλος καὶ μέγεθος, ἀποχαρισάμενος καὶ κτήματα πολλά. ἐκλήθη δὲ χώρα, διότι τῶν Βυζαντίων χωρίον ἦν ἐκεῖ, καθὰ καὶ ἡ τοῦ Στουδίου μονὴ ἔξω τῆς πόλεως ὑπῆρχεν, καὶ ἡ μονὴ τοῦ Ξηροκεράμου.

Ὁ ἅγιος Μάμας ἐκτίσθη παρὰ τῆς ἀδελφῆς Μαυρικίου τοῦ βασιλέως· μετὰ γὰρ τὸ ἀναιρεθῆναι παρὰ τοῦ Φωκᾶ τὸν D Μαυρίκιον ἅμα τοῖς τέκνοις αὐτοῦ λαβοῦσα τὰ σώματα αὐτῶν κατέθετο ἐκεῖσε. ἡ δὲ σύμβιος Μαυρικίου μετὰ τῶν θυγατέρων αὐτῆς ἐφρουρεῖτο παρὰ τῶν τοῦ Φωκᾶ ἐν τῇ νέᾳ καλουμένῃ μονῇ πρὸς ὀλίγον τινὰ καιρόν. ὕστερον δὲ ἀνηρέθη παρ' αὐτοῦ καὶ αὐτὴ διὰ ξίφους ἀποτμηθεῖσα, καὶ πᾶσα ἡ συγγένεια Μαυρικίου, καὶ τῇ θαλάσσῃ ἐρρίφησαν.

Τὴν μονὴν τῆς ἁγίας Εὐφημίας καὶ τοὺς τάφους τοὺς ὄντας ἐν τῷ Πετρίῳ καὶ τὸ λουτρὸν Βασίλειος ὁ Μακεδὼν ἀνήγειρε, καὶ τὰς θυγατέρας αὐτοῦ ἐκεῖσε ἀπέκειρε.

1 p. 54 Band. Κρίσπος C. 2 Φωκᾶ] τοῦ Καππάδοκος καὶ ἀπηνοῦς Φωκᾶ C. περιωρίσθη ἐκεῖσε, ὅτι ἐν ὑπολήψει γέγονε τοῦ Ἡρακλείου τοῦ βασιλέως. καὶ γὰρ καὶ αὐτῷ συγκροτήσας ὁ αὐτὸς Κρίσπος, καὶ κρατήσας διὰ τῆς θαλάσσης τὴν βασιλείαν, γαμβρὸς τυγχάνων Φωκᾶ. καὶ μετὰ τοῦτο βασιλέως γράμματα κατ' αὐτοῦ δεξάμενος ὁ Ἡράκλειος ἔφη αὐτῷ οὕτως "ἄθλιε, γαμβρὸν οὐκ ἐποίησας, καὶ πῶς ἀληθῆ φίλον ποιήσεις;" διὰ ταῦτα οὖν ἐκεῖσε περιορισθεὶς C. 5 χώρα Reg. καὶ τὰ Στουδίου χωρίον καὶ αὐτὸ ὑπῆρχεν C. 6 ἡ μονὴ τοῦ ξηροκ. ὁ ἅγιος μάμας uno tenore Vat. 7 p. 54 Band. ὁ ἅγιος] ἡ δὲ μονὴ ἡ ξυλόκερκος ὁ ἅγιος C. 8 παρὰ τοῦ Φ.] εἰς τὸν εὐτροπίου λιμένα C. 15 p. 39 et 133 Band.

Monasterium Chorae prius oratorium erat. postquam vero Priscus praefectus et gener Phocae tyranni eo relegatus fuit, sua impensa magnum et pulchrum monasterium eius loco exstruxit, multasque possessiones ei largitus est. cognominatur autem hoc monasterium Chora, quod ibi olim ager seu praedium esset; quemadmodum etiam monasteria Studii et Xerocerami extra urbem sita erant.

Templum S. Mamantis condidit soror Mauricii imperatoris. illa enim, Mauricio et liberis eius a Phoca tyranno interfectis, corpora eorum collegit atque ibi deposuit. caeterum uxor Mauricii cum suis filiabus primum quidem a Phoca aliquantulum in monasterio dicto novo inclusa fuit. postea autem et ipsa et universa Mauricii cognatio ferro ab eo interempta est et in mare proiecta.

Monasterium S. Euphemiae et sepulcra, quae sunt in Petrio, Basilius Macedo condidit, et filias suas ibidem attondit.

P 61 Τὴν ἁγίαν Ζωὴν τὴν οὖσαν εἰς Μωκισίαν ὁ ὅσιος ἀνήγειρε Μαρκιανός, οὗ καὶ θανὼν κατετέθη.

Τοὺς ἁγίους νοταρίους ὁ μέγας Θεοδόσιος ἀνήγειρε καὶ κτήματα πολλὰ ἐπεκύρωσε.

Τὸν ναὸν τῶν ἁγίων Μανουὴλ Σαβὲλ καὶ Ἰσμαὴλ ἐπὶ τὸ χερσαῖον τεῖχος ὁ μέγας ἀνήγειρε Θεοδόσιος· μετὰ γὰρ τὸ καυθῆναι αὐτοὺς παρὰ τοῦ παραβάτου Ἰουλιανοῦ τὰ σώματα αὐτῶν ἐκεῖ κατέθετο, ἐπεὶ ἐν τούτῳ τῷ τόπῳ ἀνηρέθησαν οἱ ἅγιοι.

Τὴν δὲ παλαιὰν λεγομένην πόρταν ὁ μέγας Κωνσταντῖνος ἀνήγειρε, καὶ ἕως ἐκεῖ ἦν τὸ ἀρχαῖον καὶ παρ' αὐτοῦ κτισθὲν χερσαῖον τεῖχος.

B Τὸν ἅγιον Ἐλευθέριον Βασίλειός τις ἐν τοῖς χρόνοις Ἀρκαδίου ἀνήγειρε.

Αἱ δύο μοναὶ τῆς ἁγίας Δομνίνας, ἥ τε ἐπονομάζεται τὰ Ἀλεξάνδρου, καὶ ἡ ἄλλη ἣ λέγεται τὰ Μαύρας, ἐν τοῖς χρόνοις τοῦ μεγάλου Θεοδοσίου ἐκτίσθησαν. ἐλθοῦσαι γὰρ ἀπὸ Ῥώμης εὗρον ἄοικον τὸν τόπον, καὶ αἰτησάμεναι τὸν βασιλέα, δέδωκεν αὐταῖς τὸν τόπον καὶ συνδρομήν, καὶ ἀνήγειραν τὰς μονάς.

1 p. 51 Band. 3 p. 52 Band. 4 κτ. π. ἐπεκ.] τὰ σώματα αὐτῶν ἐκεῖσε ἔθετο C. 5 p. 52 Band. 7 ἰουλιανοῦ τοῦ χοίρου Reg. 9 p. 52 Band. τὴν δὲ] τὸν δὲ πρόδρομον τὴν παλαιὰν ἀνήγειρεν ὁ μέγας Κωνσταντῖνος. τὸ δὲ κτίσμα ἠκούμβιζεν εἰς τὸ χερσαῖον τεῖχος. CReg. πόρταν] πέτραν nonnulli. 12 p. 52 Band. Βασίλειός] πατρίκιός C. 14 p. 53 Band. αἱ — p. 123 v. 2 Δίου καλουμένην om Vat. 15 Μαύρας] Γρηγορίας C. 18 καὶ συνδρομήν om C.

Ecclesiam S. Zotici prope cisternam Mocisiam prius imperator Marcianus exstruxit; in qua etiam mortui corpus depositum fuit.

Templum S. Notariorum Theodosius aedificavit et multis ditavit possessionibus.

Ecclesiam SS. Manuel Sabel et Ismael, quae sita est ad murum terrestrem, Theodosius magnus condidit. postquam enim a Iuliano apostata fuerunt cremati, reliquiae eorum ibidem in loco supplicii depositae sunt.

Portam quae vocatur Antiqua, Constantinus magnus exstruxit. eo enim usque antiquus et ab eo erectus murus terrestris pertingebat.

Templum S. Eleutherii Basilius quidam tempore Arcadii aedificavit.

Duo monasteria, quorum unum S. Domninae cognomento Alexandri, alterum vero S. Maurae dicitur, tempore Theodosii magni condita fuerunt. tunc enim sanctae illae feminae Roma venerunt, et impetrata ab imperatore loci huius tunc inhabitati copia monasteria ibi aedificarunt.

ὡσαύτως καὶ ὁ ὅσιος Δῖος αἰτησάμενος τὸν βασιλέα, τόπον λαβών, ἔκτισε τὴν μονὴν τοῦ Δίου καλουμένην.

Ἡ μονὴ ἡ λεγομένη τὸ Μυροκέρατον ἐκτίσθη ἐν τοῖς χρόνοις Μαρκιανοῦ τοῦ βασιλέως. φασὶ δὲ πολλοὶ τῶν ἱστορικῶν C ὅτι τὸ κέρας ἐκεῖνο τοῦ ἐλαίου, ᾧ ἔχριε Σαμουὴλ ὁ προφήτης τοὺς βασιλέας, εἰς τὴν τοιαύτην μονὴν ἐκρεμᾶτο, καὶ διὰ τοῦτο ἐκλήθη Μυροκέρατον.

Ἡ μονὴ τοῦ Ξυλινίτου ἐκτίσθη παρὰ μαγίστρου Νικήτα ἐν τοῖς χρόνοις Λέοντος τοῦ Συρογενοῦς τοῦ πατρὸς Καβαλλίνου, παρ' οὗ καὶ ἀπεκεφαλίσθη εἰς τὸν σφενδόνα. ἔχει δὲ τὸ ὄνομα ἡ μονὴ διὰ τὸ τὰς μοναζούσας χρᾶσθαι εἰς ὑπόδεσιν τοῖς οὕτω καλουμένοις ξυλίνοις.

Ἡ μονὴ τῆς Εἰκασίας ἐκτίσθη παρὰ Εἰκασίας μοναχῆς εὐσεβεστάτης καὶ παρθένου ὡραίας τῷ εἴδει, ἥτις σοφωτάτη οὖσα καὶ κανόνας πολλοὺς καὶ στιχηρὰ καὶ ἄλλα τινὰ ἀξιοθαύ- D μαστα ἐποίησε καὶ ἐμελῴδησεν ἐν τοῖς χρόνοις Θεοφίλου τοῦ βασιλέως.

Τὰ Σμαράγδου ἐκτίσθη παρὰ Σμαράγδου πατρικίου καὶ στρατηγοῦ ἐν τοῖς χρόνοις Τιβερίου τοῦ Θρακός. οὕτως δὲ ἐκλήθη, ἐπεὶ οἶκος ἦν αὐτοῦ ἐκεῖ.

3 p. 53 Band. μυριοκέρατον plerique. 4 Μαυρικίου C. 8 p. 53 Band. 10 τὴν σφενδόνην δι' ἐπιβουλὴν Reg. 13 p. 53 Band. παρὰ Εἰκ.] παρ' αὐτῆς μοναχῆς γεγοννίας, ὅτε τῆς βασιλείας ἀπέτυχε παρὰ Θεοφίλου βασιλέως, σεβασμίας καὶ ὡραίας τυγχανούσης. ἥτις καὶ κανόνας καὶ στιχηρὰ ποιήσασα ἐν τοῖς χρόνοις Μιχαὴλ καὶ Θεοφίλου τοῦ πατρὸς αὐτοῦ ἔζη ἐν αὐτῇ. C. 18 p. 133 Band. τὰ σμ. σὺν τῷ λουτρῷ ἐκτ. Reg.

similiter etiam S. Dius locum ab imperatore petiit, et monasterium in eo exstruxit, quod vocatur Dii.

Monasterium quod vocatur Myrioceratum, tempore Marciani imperatoris conditum fuit. referunt autem multi historici fuisse in hoc monasterio suspensum cornu olei, quo propheta Samuel reges Iudaeorum inunxit, atque hinc ita nominatum esse monasterium.

Monasterium Xylinitae Nicetas magister condidit tempore Leonis patris Constantini Caballini, a quo etiam decollatus fuit in sphendone Hippodromi. nomen vero Xylinitae inde habet hoc monasterium, quod monachae loco calceorum soleis ligneis uterentur.

Monasterium Icasiae aedificavit Icasia virgo sanctimonialis piissima et pulcherrima, quae valde erudita fuit, et multos hymnos et stichera et alia quaedam admirabiliter composuit tempore Theophili imperatoris.

Monasterium Smaragdi Smaragdus patricius et praefectus militum tempore Tiberii Thracis condidit, cuius illic domus fuit.

Ὁ ἅγιος Μάρκος ὁ πλησίον τοῦ Ταύρου ἐκκλησία ἦν μεγάλη ξυλότρουλλος, κτισθεῖσα ὑπὸ Θεοδοσίου τοῦ μεγάλου. εἶτα ὑπὸ σεισμοῦ κατενεχθεῖσαν ἀνήγειρεν αὐτὴν Ῥωμανὸς ὁ γέρων ὁ Λακαπηνός.

Χαλκοῦς δὲ κώνωψ καὶ μυῖα καὶ ἄλλα μικρὰ ζωΰφια ἐπάνω τῆς δυτικῆς ἀψῖδος τοῦ Ταύρου ἵσταντο, ἐστοιχειωμένα παρὰ Ἀπολλωνίου τοῦ Τυανέως. καὶ ἕως μὲν οὖν ἵσταντο, οὐκ ἐφοί- P 62 *των τῇ πόλει μυῖαι ἢ ψύλλοι ἢ κώνωπες· ὁ δὲ βασιλεὺς Βασίλειος ἐξ οἰκείας ἀγνοίας κατήγαγε καὶ ἠφάνισεν αὐτά.*

Ἡ δὲ γυναικοειδὴς στήλη ἡ χαλκῆ, ἡ ἱσταμένη εἰς τὴν φιάλην τοῦ ἱπποδρομίου, εἰς τὸ στυράκιον, Εἰρήνης ἐστὶ τῆς Ἀθηναίας, ἣν ἀνήγειρε Κωνσταντῖνος ὁ υἱὸς αὐτῆς εἰς θεραπείαν αὐτῆς.

Ὁ τόπος ὃς καλεῖται τὰ νεκρά, οὕτως ἔλαβε τὸ ἐπώνυμον, ὅτι τὰ σώματα τῶν ἀναιρεθέντων πολιτῶν ἐπὶ Ἰουστινιανοῦ τοῦ μεγάλου ἐν τῷ ἱπποδρομίῳ ἐκεῖσε ἐτέθησαν διὰ τὸ μὴ χωρεῖν ἀλλαχόθι θάψαι αὐτά. ἀπέφραξε δὲ καὶ τὰ σκάλια ἀπὸ τοῦ B *παραθύρου καὶ μέχρι τοῦ καμιλαυκίου, καὶ οὕτως ἐτίθουν τὰ σώματα τῶν νεκρῶν.*

1 p. 36 Band. 5 p. 36 Band. *χαλκοῦς] ἀλλὰ καὶ κωνωπίων ἐστοιχειώθη καὶ ἵστατο ἐστηλωμένος χαλκοῦς ἐπάνω τῆς δυτικῆς ἀψῖδος τοῦ αὐτοῦ ταύρου. ἦν δὲ κώνωψ καὶ μυῖα καὶ τὰ ἄλλα ζωΰφια, καὶ ἐξ αὐτῶν οὐκ ἀπεφοίτα τι τῇ πόλει. ἀλλ' ὁ βασιλεὺς Βασίλειος ἠφάνισε συντρίψας.* Reg. 10 p. 42 Band. 14 p. 42 Band. *ὁ τόπος ὃς καλ.] ἡ δὲ καλουμένη νεκρὰ* CReg. 17 *τὰς σκάλας* Reg. 18 *πρωτοθύρου* C, *πρώτης θύρας* Reg. *καμελαύχου* C.

Ecclesiam S. Marci prope Taurum primo Theodosius magnus cum trullo ligneo exstruxit: postea terrae motu collapsam reaedificavit Romanus senior cognomine Lecapenus.

Aereus culex et musca et alia insecta supra occidentalem arcum Tauri ab Apollonio Tyaneo posita erant. quamdiu autem illa permanserunt integra, nec muscae, nec pulices, nec culices urbem intrarunt. caeterum imperator Basilius Macedo ea deiecit atque confregit.

Statua muliebris aerea, posita in Phiala Hippodromi, Irenae Atticae est, quam in honorem eius Constantinus filius posuit.

Locus nuncupatus Necra sive Cadaverum, ex eo nomen habet, quod sub Iustiniano magno civium supplicio affectorum cadavera ibi deponerentur. alibi enim ea sepeliri vetitum erat. idem vero scalas ab ostio laterali usque ad Camilaucium muro seiunxit atque ita defunctorum corpora ibi condebant.

Τὰ δὲ παμμεγεθέστατα κτίσματα εἰς τὸν ἅγιον Σέργιον οἶκοι ἦσαν Ἰουστινιανοῦ τοῦ μεγάλου ἔτι ὄντος αὐτοῦ πατρικίου.

Εἰς τὸν ναὸν τῆς θεοτόκου τὰ Πατρικίας, γέγραπται ὅτι ὅτε ἤρχοντο οἱ βασιλεῖς μετὰ τῶν δεσποινῶν ἐπὶ προελεύσεως εἰς τὴν ἁγίαν Σοφίαν, ἐν τῷ τοιούτῳ τόπῳ ἵσταντο· ἦν γὰρ οἶκος ἐκεῖσε μέγας κτισθεὶς παρὰ τοῦ μεγάλου Κωνσταντίνου. καὶ οἱ μὲν πατρίκιοι καὶ πραιπόσιτοι ἐκεῖσε ἤλασαν καὶ ἐζώννυον τὸν βασιλέα. ὁμοίως καὶ αἱ ζωσταὶ ἐζώννυον τὴν δέσποιναν.

Τὰ Βασιλίδου ὁ ἅγιος Νικόλαος οἶκος ἦν πατρικίου Βασι- C *λίδου καλουμένου καὶ κοιαίστορος τοῦ μεγάλου Ἰουστινιανοῦ.*

Αἱ χαλκαῖ πύλαι, αἱ πρότερον μὲν ἱστάμεναι εἰς τὸ Τρικύμβαλον τοῦ τζυκανιστηρίου, ἐπήρθησαν παρὰ Βασιλείου τοῦ Μακεδόνος ἀπὸ τοῦ ἐμβόλου τοῦ φόρου εἰς τὴν νέαν.

Ἡ μονὴ τῶν Δαλμάτου παρὰ Δαλμάτου πατρικίου ἐκτίσθη, ἐξ οὗ καὶ Ἀψίμαρος, ὃς καὶ Τιβέριος, ὅτε ἀνῆλθε μετὰ τῶν χελανδίων καὶ ἐκράτησε τῆς βασιλείας, τὸν βασιλέα Λεόντιον καταγαγὼν καὶ περιορίσας ἐκεῖσε, εἶτα ῥινοκοπήσας ἐν τῇ τοιαύτῃ ἐφρούρει μονῇ.

1 p. 42 Band. 8 p. 29 Band. *γέγραπται ὅτι*] *ὄπισθεν τῆς ἁγίας Σοφίας* C. 5 *ἁγίαν τοῦ θεοῦ λόγου σοφίαν* Reg. 8 *καὶ*] *καὶ αἱ πατρίκιαι* C. 9 p. 30 Band. *τὰ Βασιλίδου*] *τὰ Βασιλίδος*, omissis *ὁ ἅγιος Νικόλαος*, C. 11 p. 23 Band. *τὸ*] *τὴν* C. 13 *τῶν ἐμβόλων τοῦ φόρου τῶν χαλιναρίων. ἐστάθησαν δὲ παρὰ τοῦ μεγάλου Κωνσταντίνου ἀντικρὺ τοῦ Σενάτου. κτίσας δὲ τὴν νέαν ἐπῆρε ταύτας καὶ ἀπῆγεν ἐκεῖσε.* C. 14 p. 50 Band. *τῶν*] *τὰ* C. 15 *ἐξ*] *ἀνεψιοῦ τοῦ μεγάλου Κωνσταντίνου, ἐξ* C. 16 *τὸν βασιλέα*] *τὸν λέοντα* Vat., *τὸν ἰουστινιανὸν* Reg.

Maxima illa aedificia, prope templum S. Sergii, aedes fuerunt Iustiniani magni, cum patricius adhuc esset.

De ecclesiae S. deiparae cognomine Patriciae memoriae proditum est imperatores et Augustas tempore processionis ad S. Sophiam ibi stationem facere consuevisse. etenim illic amplissimum erat palatium, a Constantino magno exstructum. huc igitur accedebant patricii et praepositi, et succingebant imperatorem: matronae vero, quae vocantur Zostae, imperatricem.

Templum S. Nicolai cognominatum Basilidae, domus erat Basilidae patricii et quaestoris Iustiniani magni.

Portae aereae, quae prius stabant in Tricymbalo Tzycanisterii, a Basilio Macedone ex porticu fori in ecclesiam novam translatae fuerunt.

Monasterium Dalmatae, Dalmata patricius condidit. quare etiam Tiberius Apsimarus, postquam cum chelandiis suis Byzantium pervenit, et imperio potitus est, Leontium imperatorem, naso praeciso, in hoc monasterio inclusum custodivit.

D Τὸν ἅγιον Γεώργιον τὰ Χαλκίδου Σέργιος ὁ πατριάρχης ἔκτισεν ὁ αἱρετικός, ἐν ᾧ καὶ τὸ βέβηλον αὐτοῦ σῶμα κεῖται. ὁμοίως καὶ τὰ ἐν τοῖς κατηχουμένοις εὐκτήρια πάντα ὁ αὐτὸς ἔκτισε, δοὺς ἐκεῖ χρυσᾶ κειμήλια καὶ ἀργυρᾶ καὶ πορφύρας διαχρύσους.

Τὸν ἅγιον Στέφανον τὸν πλησίον τοῦ Σίγματος ὁ μέγας Κωνσταντῖνος ἔκτισεν. ὁ δὲ βασιλεὺς Λέων ὁ φιλόσοφος ἐσμίκρυνε τοῦτον, καὶ τὴν ὕλην πᾶσαν, τά τε μάρμαρα καὶ κίονας καὶ τὰς χρυσᾶς ψηφῖδας, ἀπέθετο εἰς τοὺς ἁγίους πάντας, ὅπου κεῖται τὰ λείψανα τοῦ ἁγίου Ἰσακίου.

Τὸν ἅγιον Μητροφάνην ὁ μέγας Κωνσταντῖνος ἀνήγειρεν.
P 63 ὡσαύτως καὶ τὴν ἁγίαν τριάδα τὴν οὖσαν εἰς τὸ Ἐξωκιόνιον, τὴν νῦν δὲ ἁγίους ἀποστόλους ὀνομαζομένην. συμπτωθέντας δὲ ὕστερον ὁ μέγας Ἰουστινιανὸς ἔκτισε.

Περὶ δὲ τοῦ προδρόμου τοῦ Ἴλλου λέγεται ὅτι πηγὴ ἦν ἐν τῷ τόπῳ, καὶ δράκων ἐφώλευε παμμεγεθέστατος (ἦν δὲ ταμεῖον βασιλικὸν ἐκεῖ) καὶ πολλοὺς ἀσκέπτως ἐρχομένους κατήσθιεν. ὁ δὲ ἅγιος Ὑπάτιος προσελθὼν ἐπάταξε τὸν θῆρα μετὰ τῆς

1 p. 59 Band. τὰ Χαλκ.] τὸν ἐν Χαλκηδόνι C. 2 ἔκτισεν· ὁμοίως καὶ τὴν θεοτόκον τὰ Μαρνακίου, ἐν ᾧ καὶ τὸ σῶμα αὐτοῦ κεῖται, omissis reliquis. 6 p. 21 Band. σήματος Vat. 8 τὴν ὕλην πᾶσαν τῶν χρυσῶν ἀψίδων, πολυποικίλων λίθων καὶ κίονας ἀπέθετο εἰς τοὺς ἁγίους ἀποστόλους, καὶ ναὸν ἀνήγειρε τοὺς ἁγίους πάντας C. τὴν add C. 9 ἁγίους ἀποστόλους καὶ ναὸν ἔκτισε τοὺς ἁγίους πάντας καλούμενον Reg. 11 p. 134 Band. 15 p. 43 Band. 18 προσελθὼν] παραγενόμενος μετὰ τῆς ῥάβδου αὐτοῦ ἐχούσης κάτωθεν ἥλους σιδηροῦς, καὶ σφραγίσας καὶ κρούσας τὸν δράκοντα ἀπέψυξεν, καὶ λαβὼν αὐτὸν μέσον τοῦ φόρου προὔθηκε νεκρὸν καὶ ἔκαυσεν αὐτόν. CReg.

Templum S. Georgii cognominatum Chalcidae Sergius patriarcha haereticus exstruxit: ubi etiam profanum eius cadaver sepultum est. idem quoque aedificavit oratoria, quae sunt in catechumenis, et multa templo largitus est aurea et argentea cimelia, et purpureas vestes auro distinctas.

Aedem S. Stephani, prope Sigma, Constantinus magnus condidit: imperator vero Leo philosophus ad minorem formam redegit, et omnem eius materiam, marmora, columnas et aureas crustulas in templum omnium sanctorum transtulit, ubi depositae reliquiae S. Isaacii.

Ecclesiam S. Metrophanis Constantinus magnus exstruxit: uti etiam aedem sanctae trinitatis, quae sita est in Exocionio, et nunc vocatur SS. apostolorum. utramque vero vetustate collapsam Iustinianus magnus restauravit.

De templo S. Ioannis praecursoris cognomine Illi tradunt maximum draconem olim in eo loco latitasse, ubi tum aerarium imperiale erat, et multos incaute illac transeuntes devorasse. tandem vero S. Hypatius eo accessit, et fustem subtus clavatum draconi impegit,

ῥάβδου αὐτοῦ, ἐχούσης ἧλον κάτωθεν σιδηροῦν, καὶ ἐφόνευσεν αὐτόν, ἐξ οὗ καὶ ἔσχεν ὁ τόπος τὴν ἐπωνυμίαν. ἢ καθότι καὶ ἀνώτερον εἴπομεν, ἀπὸ Ἴλλου μαγίστρου τοῦ τυραννήσαντος καὶ ἀναιρεθέντος παρὰ Βασιλίσκου. B

Τὴν ἁγίαν Θεοφανώ, τὴν οὖσαν ἔξωθεν τῆς παλαιᾶς κόγχης τῶν μνημοθεσίων τῶν βασιλικῶν εἰς τοὺς ἁγίους ἀποστόλους, ἀνήγειρεν Κωνσταντῖνος ὁ πρῶτος πορφυρογέννητος, ὁ υἱὸς Λέοντος τοῦ σοφοῦ.

Τὸν σωτῆρα εἰς τὴν χαλκῆν Ῥωμανὸς ὁ γέρων ἀνήγειρεν, ὑπὸ στυρακίων μικρῶν δύο, ὡς ἔστιν ὁρώμενον τὸ θυσιαστήριον, ποιήσας κληρικοὺς ιβ'. ὁ δὲ Τζιμίσκης Ἰωάννης ἀνήγειρεν αὐτὸν εἰς ὅπερ ὁρᾶται νῦν μέγεθος καὶ κάλλος, τυπώσας κληρικοὺς πεντήκοντα. πολλοῖς δὲ ἱεροῖς ἀναθήμασιν αὐτὸν κατεφαίδρυνε, προσκυρῶν ἅπερ ἀπὸ τοῦ ταξειδίου κατευοδούμενος ἐκτᾶτο. ἀπέθετο ἐκεῖσε καὶ τὴν ἐκ Βηρυτοῦ ἁγίαν εἰκόνα καὶ τὰ σανδάλια C *τοῦ Χριστοῦ, καὶ θανὼν ἐτάφη ἐν αὐτῷ.*

5 p. 36 Band. 6 *τῶν μνημ.*] *τοῦ μνημοθεσίου ἀνήγειρεν* C. 7 *πρῶτος* om C. 9 p. 10 Band. *τὸν σ.*] *τὸν χριστὸν* Reg. 10 *ὑπὸ*] *ὑπὲρ* Lamb. *στυρακίων*] *στυλῶν* Reg. *ὁρώμενον*] *φαινόμενον* C. 11 *ὁ δὲ Ἰωάννης ὁ Τζιμίσκης ἐπλάτυνε καὶ ἀνήγειρεν αὐτὸν καλλύνας ἐκ χρυσίου καὶ ἀργύρου πολλοῦ. ἐποίησε δὲ καὶ κληρικοὺς λς', τιθεὶς αὐτοῖς καὶ ῥόγας καὶ ἀννόνας καὶ ἀνὰ νομισμάτων λ'. τὰ δὲ ἱερὰ καὶ τὰ στέμματα καὶ τὰ σκῆπτρα καὶ τοὺς δίσκους καὶ τὰς λυχνίας καὶ τὰς ἐσθῆτας καὶ τὰ ἄμφια τὰ βασιλικὰ ἰδιόκτητα αὐτοῦ ὄντα ἀπεχαρίσατο πρὸς τὸν ναόν. ὡσαύτως καὶ τὰ ἀκίνητα αὐτοῦ κτήματα ἐπεκύρωσεν αὐτῷ, ἐν ᾧ ἀπὸ τοῦ ταξειδίου ἐφέρετο τὴν τιμίαν εἰκόνα τῆς ἁγίας σταυρώσεως τῆς ἐν τῇ Βηρύτῳ καὶ τὰ ἅγια σανδάλια τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἐν ποικίλοις χρυσέοις καὶ διὰ λίθων κιβουρίοις. ἐποίησεν οὖν καὶ τὸ ἑαυτοῦ μνῆμα ἐκεῖσε ὁλόχρυσον μετὰ χυμεύσεως, ἐν ᾧ καὶ ἐτέθη.* CReg.

atque eum interemit. hinc igitur locus denominatus est, vel, ut supra quoque diximus, ab Illo magistro, qui ob affectatum imperium ab imperatore Basilisco occisus fuit.

Ecclesiam S. Theophanis, quae sita est extra veterem testudinem monumentorum imperialium in templo SS. apostolorum, aedificavit Constantinus primus Porphyrogenitus, filius Leonis sapientis.

Templum salvatoris in Chalce Romanus senior condidit, et sub duabus parvis columellis altare, ut nunc conspicitur, institutis ibidem 12 clericis. deinde vero Ioannes Tzimisces illud in praesentem magnitudinem et pulchritudinem provexit, et 50 clericos in eo instituit. praeterea multis sacris donariis exornavit, et quicquid bonorum post reditum ex suo praesidio possidebat, ibi obtulit. collocavit etiam in eo sacram Christi imaginem Beryto allatam, et eius sandalia. ipse quoque ibidem sepultus est.

Τὸ ἅγιον λοῦμα τῶν Βλαχερνῶν ὁ νέος Βασίλειος ὁ υἱὸς Ῥωμανοῦ τοῦ καλουμένου παιδίου τοῦ πορφυρογεννήτου πολυτελεστέρως ἐκόσμησε, χρυσώσας καὶ ἀργυρώσας πλέον παρ' ὃ ἦν.

Ἡ μονὴ τοῦ ἁγίου Λαζάρου παρὰ Λέοντος τοῦ σοφοῦ ἐκτίσθη. μοναχοὺς δὲ εὐνούχους ἐν αὐτῇ τετύπωκεν. ἔφερε καὶ τὰ λείψανα ἀπὸ Κύπρου καὶ Βιθυνίας τῆς τε μυροφόρου Μαρίας καὶ Λαζάρου, καὶ ἐκεῖ ἀπέθετο.

Ἡ μονὴ τοῦ Τζαούτζου ἐκτίσθη παρὰ Τζαούτζου μαγίστρου,
D οὗ τινὸς τὴν θυγατέρα ἐμοίχευσε Λέων ὁ σοφός, Ζωὴν ὀνομαζομένην.

Ἡ μονὴ τοῦ Λιβὸς ἐν τοῖς χρόνοις Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου τοῦ πορφυρογεννήτου ἐκτίσθη παρὰ Λιβὸς πατρικίου καὶ δρουγγαρίου τῶν πλωΐμων, ὃς καὶ ξενῶνα ἐποίησε.

Περὶ δὲ τῶν παμμεγεθεστάτων πετρῶν τῶν ἔξωθεν κειμένων τοῦ παραλίου τείχους λέγεται ὅτι, κτιζομένης τῆς πόλεως παρὰ τοῦ μεγάλου Κωνσταντίνου καὶ σχεδὸν ἁπάσης πετρώδους ὑπαρχούσης, ἰσάζοντες τοὺς τόπους οἱ λιθοξόοι, ὡς ἂν κτίσωσι τούς τε ἐμβόλους καὶ τὰ ἐξάερα, ἔκοπτον τὰς κορυφὰς τῶν

1 p. 40 Band. ὁ υἱὸς] ὁ εὐσχήμων υἱὸς Ῥωμανοῦ τοῦ νέου πορφυρογεννήτου παρέλυσε καὶ ἀνήγειρε νεωστί, καλλωπίσας καὶ χρυσώσας προκριτώτερον παρ' ὃ ἦν, καὶ ἐξ ἀργυρίου καὶ χρυσίου πολλοῦ εἰκόνισε καὶ κατεκόσμησεν αὐτόν. C. 4 p. 23 Band. ἡ μονὴ] ὁ δὲ ἅγιος Λάζαρος ἐκτίσθη μὲν παρὰ τοῦ Μακεδόνος, ὕστερον δὲ παρὰ Λέοντος τοῦ υἱοῦ αὐτοῦ ἐπλατύνθη, ἀποχαρισαμένου ἐν τῷ τοιούτῳ ναῷ καὶ κτήματα πολλά. εἰς εὐνούχων μονὴν ταύτην ἀποκατέστησεν. ἔφερε δὲ ἀπὸ Κύπρου καὶ τὰ ἅγια λείψανα τοῦ ἁγίου Λαζάρου καὶ ἀπὸ Βιθυνίας τῆς ἁγίας Μαρίας τῆς μυροφόρου, καὶ ἐπέθετο ἐκεῖσε ταῦτα. C. 8 p. 134 Band. μαγίστρου καὶ βασιλεοπάτορος Reg. 11 p. 52 Band. 14 p. 61 Band. 18 τὰ ἐξάερα] τὰ ξίαρα Vat.

Sacrum balneum in Blachernis Basilius iunior filius Romani Porphyrogeniti, cognomine pueri, pretiosius quam ante fuerat exornavit et auro argentoque obduxit.

Monasterium sancti Lazari imperator Leo sapiens condidit, et monachos eunuchos in eo instituit. eo etiam transtulit reliquias S. Lazari et Mariae unguentiferae, ex Cypro et Bithynia allatas.

Monasterium Tzautzae tempore eiusdem Leonis Tzautzes magister exstruxit; cuius filiam Zoen Leo sapiens concubinam habuit.

Monasterium Libis tempore Romani senioris et Constantini Porphyrogeniti aedificatum fuit a Libe patricio et drungario classis navalis, qui etiam hospitale condidit.

De ingentibus istis saxis quae sita sunt extra murum maritimum, haec narrantur. cum Constantinus magnus urbem hanc conderet et fere totus eius situs saxosus esset, lapicidae ad porticus exstruendas loca

πετρῶν καὶ τῶν ὀρέων καὶ κατεκύλιον πρὸς τὴν θάλασσαν. πανταχόθεν οὖν τοῦ αἰγιαλοῦ ῥιφέντες ἐποίησαν εἴργεσθαι τὴν P 64 *ἐπιφορὰν τῶν κυμάτων. διὸ καὶ ἔσωθεν αὐτῶν ἔκτισαν τὸ παράλιον τεῖχος, ὡς ἵνα κινουμένη ἡ θάλασσα καταθραύηται ταῖς πέτραις καὶ γαληνιῶσα προσπελάζῃ τοῖς τείχεσιν.*

1 *κατεκύλιον τοὺς λίθους τοὺς κειμένους ἔξω τῶν τειχῶν ἀπὸ τῆς Βαρβάρας μέχρι τοῦ παλατίου καὶ τῶν Σοφιῶν καὶ τῶν Ἐλευθερίου μέχρι χρυσίας, καὶ ἔσωθεν τῶν αὐτῶν λίθων ἔπηξε τὰ τείχη εἰς διάστιξιν τοῦ τείχους καὶ πῆξιν αὐτοῦ, ὅπως κυμαινομένη ἡ θάλασσα εἰς τὰς πέτρας κρούσασα γαληνιᾷ.* CReg.

deplanantes montium apices exciderunt, iisque ad mare devolutis et undique disiectis totum littus adversus irruentem fluctuum violentiam communierunt; ideoque murus maritimus intra hasce petras erectus fuit, ut mare turbatum eis illisum frangeretur et tranquille muris afflueret.

ΠΕΡΙ ΤΗΣ ΟΙΚΟΔΟΜΗΣ

ΤΟΥ ΝΑΟΥ ΤΗΣ ΑΓΙΑΣ ΣΟΦΙΑΣ.

Τῆς μεγάλης ἐκκλησίας ἤγουν τῆς ἁγίας Σοφίας εἰδωλείου τὸ
B πρὶν οὔσης, καὶ πολλῶν ἀγαλμάτων ἐκεῖσε ἱσταμένων, ἀφεῖλεν αὐτά, καθὼς προείρηται, ὁ μέγας Κωνσταντῖνος καὶ Ἰουστινιανός. καὶ ὁ μὲν μέγας Κωνσταντῖνος πρώην αὐτὴν ἀνήγειρε δρομικήν, ὁμοίαν τοῦ ἁγίου Ἀγαθονίκου καὶ τῆς ἁγίας Δυνάμεως. ἀνήγειρε δὲ καὶ τὴν ἁγίαν Εἰρήνην τὴν παλαιὰν πλησίον αὐτῆς τῆς μεγάλης ἐκκλησίας ἤγουν τῆς ἁγίας Σοφίας. καὶ πληρώσας αὐτὴν τὴν ἁγίαν Σοφίαν στήλας ἔστησε πολλάς, ὡς προείπομεν. διήρκεσε δὲ τὸ κτίσμα ἐκεῖνο μέχρι τῆς βασιλείας Θεοδοσίου τοῦ μεγάλου. ἐν δὲ τοῖς χρόνοις ἐκείνου, κατὰ τὴν δευτέραν ἐν Κωνσταντινουπόλει σύνοδον, στασιάσαντες οἱ Ἀρειανοὶ κατέφλεξαν τὸ στέγος τῆς μεγάλης ἐκκλησίας, ὄντος πατριάρ-

cf. Band. p. 65—80 cum notis.

D E S T R U C T U R A

TEMPLI S. SOPHIAE.

Cum olim magna ecclesia, videlicet S. Sophia, idolorum esset delubrum, simulacra ibi collocata Constantinus magnus et Iustinianus, ut antea dictum est, inde abstulerunt. primum quidem Constantinus magnus eam instar circi oblongam exstruxit, templi S. Agathonici et S. Potentiae similem. aedificavit quoque prope magnam ecclesiam sive S. Sophiam templum S. Irenae, quod cognominatur antiquum. postquam vero S. Sophiam absolvit, multas in ea collocavit statuas, ut iam ante diximus. structura autem illa duravit usque ad imperium Theodosii magni: huius enim tempore, cum secunda synodus Cpoli haberetur, Ariani seditione excitata tectum magnae ecclesiae exusserunt, sub pa-

χου Νεκταρίου τοῦ ἁγιωτάτου, εἰς τὴν Εἰρήνην καθεζομένου τὴν C παλαιάν. διῆλθοσαν δὲ χρόνοι δεκαέξ, καὶ ἦν ἀσκεπὴς ἡ ἁγία Σοφία. προστάξας δὲ ὁ βασιλεὺς Θεοδόσιος Ῥουφῖνον τὸν μάγιστρον ἐσκέπασε τὸ στέγος διὰ κυλινδροειδῶν καμάρων. καὶ διήρκεσεν οὕτως μέχρι τῆς βασιλείας Ἰουστινιανοῦ. εἰς δὲ τὸν πέμπτον χρόνον τῆς αὐτοῦ βασιλείας, μετὰ τὸ γενέσθαι τὴν σφαγὴν ἐν τῷ ἱππικῷ τῶν τριακονταπέντε χιλιάδων, ἀναιρεθέντων ἐκεῖσε διὰ τὸ ἀναγορευθῆναι παρὰ τῶν δημοτικῶν δύο μερῶν Ὑπάτιον τὸν πατρίκιον καὶ δήμαρχον μέρους τῶν Βενέτων, ἐνέπνευσεν ὁ πανάγαθος θεὸς καὶ φιλάνθρωπος εἰς τὴν διάνοιαν τοῦ βασιλέως Ἰουστινιανοῦ τοῦ οἰκοδομῆσαι ναόν, οἷος οὐκ ἐγένετο ἀπὸ Ἀδὰμ οὔτε γενήσεται. ἔγραψε δὲ καὶ τοῖς στρατηγοῖς το- D πάρχαις καὶ σατραπαῖς καὶ δουξὶ καὶ πᾶσι τοῖς οὖσιν ἀρχηγέταις πάντων τῶν βασιλικῶν θεμάτων ἀνατολῆς τε καὶ δύσεως, ἄρκτου καὶ μεσημβρίας, πέμψαι αὐτῷ ὕλην ἀνήκουσαν εἰς τὸ ἀνεγεῖραι τοιοῦτον ἀξιοθαύμαστον καὶ θεοφρούρητον καὶ θεοφύλακτον καὶ περικαλλῆ ναόν, ὅπου δηλαδὴ εὑρεθῶσι, κίονάς τε καὶ συστημάτια στήθεά τε καὶ ἀβάκια καὶ καγκελοθύρια. πάντες δὲ οἱ παρ᾽ αὐτοῦ τοῦ βασιλέως Ἰουστινιανοῦ ὁρισθέντες χαίροντές τε καὶ ἀγαλλιώμενοι ἔπεμπον τῷ βασιλεῖ Ἰουστινιανῷ τὴν τοιαύτην ὕλην, συναγαγόντες αὐτὴν ἀπό τε ναῶν εἰδωλικῶν καὶ παλατίων λουτρῶν τε καὶ οἴκων ἀπὸ πάντων τῶν θεμάτων τῆς οἰκουμένης. P 65 καὶ τοὺς μὲν ὀκτὼ κίονας τοὺς Ῥωμαίους, καθώς φησι Πλούταρχος πρωτασεκρῆτις καὶ ἐπιστολογράφος Ἰουστινιανοῦ, μετὰ

triarchatu sanctissimi Nectarii, in antiqua Irene praesidentis. exinde totis sexdecim annis tecto S. Sophia caruit. imperator vero Theodosius Rufinum magistrum operi praeficiens tecto ex cylindrace fornicibus composito eam operuit; et ita permansit usque ad imperium Iustiniani. quinto autem anno eius imperii post illam stragem in qua 35 hominum milia in Hippodromo interfecti sunt, quia duae populi partes Hypatium patricium et praefectum Venetae factionis imperatorem salutarant, deus optimus et humanissimus imperatori Iustiniano mentem dedit ut templum, quale ab Adamo non fuit neque fiet, aedificaret. scripsit etiam praesidibus, toparchis, satrapis, ducibus et omnibus praefectis omnium provinciarum imperii ad Orientem Occidentem Septentrionem et Meridiem, ut sibi mitterent materiam ad exstruendum tam mirabile et dei praesidio munitum custoditumque et pulchritudine conspicuum templum, ubicunque videlicet invenirent columnas lapides tabulas et clathratas ianuas. omnes igitur ei rei ab imperatore Iustiniano destinati alacresque imperatori materiam eiusmodi summiserunt, collectam ex delubris idolorum, palatiis balneis et aedibus omnium provinciarum universi terrarum orbis. caeterum octo columnas Romanas, ut refert Plutarchus primus a secretis et ab epistolis Iustiniano, vidua quaedam nomine

σχεδίων ἀπεστάλησαν παρὰ γυναικὸς χήρας ἀπὸ Ῥώμης, ὀνόματι Μαρκίας· οὓς τινας εἶχεν εἰς προῖκα αὐτῆς. ἵσταντο δὲ εἰς τὴν Ῥώμην εἰς τὸν ναὸν τοῦ ἡλίου τὸν κτισθέντα παρὰ Οὐαληριανοῦ τοῦ βασιλέως Ῥώμης, τοῦ προδόντος ἑαυτὸν Πέρσαις. ἔγραψε δὲ τῷ βασιλεῖ οὕτως "ἀπέστειλά σοι, δέσποτα βασιλεῦ, ὀκτὼ κίονας Ῥωμαίους, ἰσομήκεις, ἰσοκύκλους, τολμῶ εἰπεῖν καὶ ἰσοστάθμους, ὑπὲρ ψυχικῆς μου σωτηρίας." τοὺς δὲ ἑτέρους ὀκτὼ
B πρασίνους κίονας τοὺς ἀξιοθαυμάστους ἐκόμισεν ὁ στρατηγὸς Κωνσταντῖνος ἀπὸ Ἐφέσου λελατομημένους. ἡ δὲ λοιπὴ πᾶσα ὕλη καὶ πάντες οἱ κίονες ἀπὸ Κυζίκου ἤχθησαν. ἑτέρους δὲ ἀπὸ Τρωάδος καὶ ἄλλους ἀπὸ Κυκλάδων νήσων καὶ ἀπὸ Ἀθηνῶν οἱ ἄρχοντες βασιλέως ἔπεμπον. συνήχθη δὲ πᾶσα ἡ ὕλη χρόνους ἑπτὰ ἥμισυ. τῷ δὲ δεκάτῳ δευτέρῳ ἔτει τῆς βασιλείας Ἰουστινιανοῦ ἐκ θεμελίων κατέλυσαν τὸν ναόν. τὴν δὲ ἅπασαν ὕλην αὐτοῦ ἰδίως ἀπέθεντο· οὐ γὰρ εἶχον χρείαν αὐτῆς τὸ σύνολον διὰ τὸ πολλὴν καὶ ἄπειρον κρείττονα ὕλην ἀθροῖσαι καὶ ἑτοιμάσαι.

Ἤρξατο γοῦν ἐξωνεῖσθαι οἰκήματα τῶν ἐκεῖσε οἰκούντων
C καὶ πλησιαζόντων, καὶ πρῶτον μὲν χήρας τινὸς γυναικός, ὀνόματι Ἄννης. ἐκείνης δὲ μὴ βουλομένης ταῦτα πρᾶσαι τῷ βασιλεῖ, ἔλεγε "μέχρι νομισμάτων λίτρας φ' ἐάν μοι παράσχῃς, οὐ δίδωμί σοι ταῦτα." ὁ δὲ βασιλεὺς πολλοὺς τῶν μεγιστάνων αὐτοῦ ἀποστείλας πρὸς θεραπείαν τῆς γυναικὸς οὐδὲν ἤνυε. παραγενόμενος δὲ ὁ βασιλεὺς εἰς ἱκεσίαν τῆς γυναικὸς ἐδέετο αὐ-

Marcia, quae in dotem illas acceperat, Roma curavit eo ratibus pervehi. stabant autem Romae in templo solis, quod Valerianus Romanus imperator, qui seipsum Persis in manum dedit, construxerat. sic vero imperatori scripsit: "mitto tibi, domine imperator, octo columnas Romanas, longitudine et rotunditate, audeo dicere, et pondere aequales, pro animae meae salute." alias octo columnas admirandas, coloris prasini, Constantinus dux e latumiis excisas secum Epheso adduxit. reliqua omnis materia et columnae Cyzico advectae sunt: alias ex Troade, alias ex Cycladibus insulis et Athenis praefecti imperatoris miserunt. omnis autem haec materia septem annis cum dimidio collecta est. anno vero duodecimo imperii Iustiniani templum a fundamentis everterunt. omnem autem eius materiam seorsim deposuit: nullo enim modo ea opus habebat, quoniam multo meliorem coacervaverat et ad manus habebat.

Coepit igitur emere domos illic atque in contiguis aedibus habitantium, ac primum cuiusdam viduae nuncupatae Annae, quae cum recusaret imperatori vendere, dixit "etiam si quingentas libras nummum mihi obtuleris, tamen eam non tibi tradam." imperator vero cum multos ex proceribus suis misisset, ut blanditiis mulierem demulcerent, nihil impetravit. ipse autem mulierem accedens obnixe rogavit ut suam domum

τῆς περὶ τῆς διαπράσεως τῶν οἰκημάτων αὐτῆς. ἡ δὲ θεασαμένη τὸν βασιλέα ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ δεομένη καὶ λέγουσα "δέσποτα βασιλεῦ, ἐγὼ μὲν χάριν τιμῆς τῶν οἰκημάτων οὐκ ὀφείλω λαβεῖν τι ἀπὸ σοῦ, θέλω δὲ κοινωνὸν κἀμὲ γενέσθαι εἰς τὸν κτιζόμενον ναόν, ἵνα ἔχω κἀγὼ ἐν ἡμέρᾳ κρίσεως μισθὸν D καὶ μετὰ θάνατόν μου ταφῶ πλησίον τῶν οἰκημάτων μου, καὶ διηνεκῶς μνημονεύεσθαί με ὡς κτῆμα δοῦσαν αὐτά." ἔστι δὲ ὁ τόπος τῶν οἰκημάτων αὐτῆς, ὃν δέδωκεν εἰς τὴν μεγάλην ἐκκλησίαν, τὸ σκευοφυλάκιον ὅλον σὺν τῷ ναῷ τοῦ ἁγίου Πέτρου. τὸ δὲ ὀνομαζόμενον ἅγιον φρέαρ καὶ τὸ ἅγιον θυσιαστήριον ὅλον καὶ ὁ τόπος τοῦ ἄμβωνος, ἕως τῆς μέσης τοῦ ναοῦ, ὑπῆρχεν οἶκος Ἀντιόχου τινὸς ὀστιαρίου καὶ εὐνούχου, ὃς ἀπετιμήθη εἰς ὑπέρπυρα λίτρας ν'. τούτου δὲ δυσχεραίνοντος τοῦ μὴ πρᾶσαι ἀξίως τὸν ἴδιον οἶκον τῷ βασιλεῖ, ὁ βασιλεὺς φιλοδίκαιος ὢν καὶ μισοπόνηρος πρὸς τὸ μὴ θέλειν τινὰ λυπῆσαι ἢ ἀδικῆσαι, P 66 ἠθύμει ἀδημονῶν τί ἂν πράξοι εἰς αὐτόν. Στρατήγιος δὲ μάγιστρος καὶ φύλαξ τῶν βασιλικῶν χρημάτων, καὶ τοῦ βασιλέως ἀδελφοποιητός, ὑπέσχετο τῷ βασιλεῖ τοῦ νικῆσαι αὐτὸν διά τινος μηχανῆς καὶ πιπρᾶσαι τὰ οἰκήματα αὐτοῦ καὶ μὴ βουλομένου. ὁ δὲ ῥηθεὶς Ἀντίοχος καὶ ὀστιάριος ἐφίλει τὸ κυάνεον χρῶμα φιλιππόδρομος ὤν, καὶ ἀντεποιεῖτο αὐτοῦ λίαν καὶ ἔχαιρεν ἐπ' αὐτῷ. ἱππικοῦ δὲ μέλλοντος γίνεσθαι, ὁ μάγιστρος Στρατήγιος τὸν ὀστιάριον ἐφρούρησεν καὶ καθεῖρξεν αὐτὸν εἰς τὸ πραιτώριον

venderet. illa cum vidisset imperatorem, cecidit ad pedes eius suppliciter dicens "domine imperator, non quidem par est me sero aedium pretio quicquam a te accipere, volo autem me in partem venire sumptuum structurae huius templi, ut et ego in die iudicii habeam mercedem et post mortem meam sepeliar prope aedes meas, et identidem meae donationis memoriam fieri." locus autem aedium eius, quem dedit magnae ecclesiae, totum sceuophylacium cum templo S. Petri continet. porro locus nuncupatus puteus sacer et sanctum altare et locus suggesti, usque ad mediam partem templi, erat domus cuiusdam Antiochi ostiarii et eunuchi, quam quinquaginta nummorum libris aestimabat. indignante vero ipso quod non posset iusto pretio suam domum imperatori vendere, imperator iustitiae et probitatis amans, quod nollet quemquam iniuria vel damno affici, moestus animo cogitabat quid cum illo ageret. Strategius autem magister, thesauri imperatoris praefectus eiusque adoptivus frater, imperatori promisit se aliquo commento illum victurum, ut aedes suas etiam invitus vendere cogeretur. praedictus enim Antiochus ostiarius Circensium studio flagrans venetum colorem sive ceruleum amabat, illoque admodum delectabatur. cum igitur ludi Circenses exercendi essent, magister Strategius ostiarium comprehendit,

τῇ ἡμέρᾳ τοῦ ἱππικοῦ. ἐκεῖνος δὲ ἐβόα μετὰ κλαυθμοῦ ὀδυνη-
B ρῶς, καὶ ἔλεγεν "ἴδω τὸν ἀγῶνα τοῦ ἱππικοῦ, καὶ τὸ θέλημα
τοῦ βασιλέως ποιήσω." ὑπομνησθέντος δὲ τοῦ βασιλέως ἤγαγον
αὐτὸν ἐν τῷ καθίσματι καὶ ἐποίησαν ἐκεῖ τὴν πρᾶσιν, παρόντος
καὶ τοῦ κοιαίστορος καὶ ὑπογραψάσης πάσης τῆς συγκλήτου.
ἐπράθησαν δὲ εἰς χρυσίου λίτρας πε΄. τὸ δὲ δεξιὸν μέρος τοῦ
γυναικίτου ἕως τοῦ κίονος τοῦ ἁγίου Βασιλείου ὑπῆρχον οἰκή-
ματα Χαρίτωνος εὐνούχου τοὐπίκλην Χηνοπόδη, ἃ καὶ μετ'
εὐχαριστίας πολλῆς δέδωκε τῷ βασιλεῖ, διπλῷ τιμήματι ἀποτι-
μηθέντα λίτρας ιβ΄. τὸ δὲ εὐώνυμον μέρος τοῦ γυναικίτου μέχρι
τοῦ κίονος τοῦ ἁγίου Γρηγορίου τοῦ θαυματούργου ὑπῆρχον οἰκή-
ματα Ξενοφῶντός τινος ῥάπτου, καὶ ᾐτήσατο τὸν βασιλέα ἵνα
C λάβῃ διπλοῦν τὸ τίμημα λίτρας ιδ΄, καὶ ποιήσῃ αὐτὸν τῇ ἡμέρᾳ
τοῦ ἱππικοῦ καθεζόμενον προσκυνεῖσθαι ὑπὸ τῶν τεσσάρων ἡνιό-
χων. τῶν δὲ δήμων καὶ πάσης τῆς συγκλήτου εἰπόντων τῷ βα-
σιλεῖ "οὐκ ἔξεστι προσκυνεῖσθαι αὐτὸν οὕτως, εἰ μὴ μόνον τὸν
βασιλέα," προσέταξεν ὁ βασιλεὺς ἐξόπισθεν προσκυνεῖσθαι αὐ-
τὸν καὶ ὀνομάζεσθαι ἄρχοντα τῶν καταχθονίων· καὶ τοῦτο φυ-
λάσσεται μέχρι τοῦ νῦν. τὸ δὲ ἐπίπεδον τοῦ ναοῦ καὶ ὁ λουτὴρ
καὶ οἱ νάρθηκες καὶ τὰ πέριξ αὐτῶν οἶκος ἦν Δαμιανοῦ πατρι-
κίου Σελευκίας, ἅτινα ἀπετιμήθησαν εἰς λίτρας ϛ΄· καὶ μετὰ
πολλῆς εὐφροσύνης δέδωκεν αὐτὰ τῷ βασιλεῖ.
D Ὁ δὲ βασιλεὺς καταμετρήσας τὸν τόπον εὗρε στεφαναίαν

autem secunda anni 6437 edidit novellam de potentibus in consortia pauperum succedentibus; quae etiam ad praeteritam primam indictionem sive tempus magnae famis pertinet. eandem novellam indictione quinta anni 6455 imperator Constantinus confirmavit. caeterum 18 anni, quorum Decapolita in *** meminit, numerantur a prima indictione anni 6437. sed ab indictione prima anni 6430 sive tempore famis, ad quod haec quoque constitutio refertur, usque ad imperium imperatoris Constantini.

Iterum Constantinus Porphyrogenitus imperavit cum Stephano et Constantino, qui ab ipso imperio detrusi et in exsilium acti sunt.

Imperavit igitur, ut supradictum est, Constantinus Porphyrogenitus cum matre annos 7, et iterum cum Stephano et Constantino uxoris suae fratribus dies 42; et solus cum Romano filio annos 15 dies 19, indictione tertia anni 6437.

Dominus Romanus filius eius, cognomento Puer, cum filiis suis Basilio et Constantino Porphyrogenitis imperavit annos 3, menses 4. Basilius autem et Constantinus filii eius, infantes, imperaverunt dies 6.

Νικηφόρος ὁ Φωκᾶς ὁ ἅγιος, ὁ σφαγεὶς ὑπὸ τοῦ Τζιμισχῆ, ἔτη ϛ΄ μῆνας γ΄ ἡμέρας ϛ΄.

C *Ἰωάννης ὁ Τζιμισχῆς ἔτη ϛ΄ μῆνα α΄.*

Ὁ κύριος Βασίλειος ὁ πορφυρογέννητος ἔτη νβ΄ μῆνας ια΄ μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ Κωνσταντίνου τοῦ πορφυρογεννήτου, ἤγουν ὁ κύριος Βασίλειος χρόνους ν΄, ὁ δὲ κύριος Κωνσταντῖνος μετὰ τὴν τελευτὴν τοῦ αὐταδελφοῦ αὐτοῦ μονοκράτωρ χρόνους β΄ μῆνας ια΄. [καὶ προστάξας γενέσθαι τὰ ἰσωδικὰ ἐτελείωσε ταῦτα ἐν ἔτει τῷ ,ϛφγ΄. τὴν δὲ νεαρὰν αὐτὸς τὴν μεγάλην ἐκθέμενος ἐξεφώνησε ταύτην μηνὶ Ἰανουαρίῳ, ἰνδικτιῶνος θ΄, ἔτους ,ϛφδ΄.]

Κωνσταντῖνος ὁ πορφυρογέννητος ὁ ἀδελφὸς αὐτοῦ ἔτη β΄ μῆνας ια΄.

D *Ῥωμανὸς ὁ Ἀργυρόπουλος σὺν Ζωῇ τῇ θυγατρὶ τοῦ αὐτοῦ Κωνσταντίνου ἔτη ε΄ μῆνας ϛ΄.*

Μιχαὴλ ὁ Παφλαγὼν ἐν ἔτει ,ϛφμα΄ σὺν τῇ αὐτῇ Ζωῇ ἔτη ζ΄ μῆνας θ΄.

Μιχαὴλ ὁ ἀπὸ Καῖσαρ ὁ ἀνεψιὸς αὐτοῦ, ὁ καὶ Καλαφάτης λεγόμενος, ὁ τυφλωθεὶς εἰς τὸ σίγμα, μῆνας δ΄ ἡμέρας ιθ΄. ὃς καὶ ἐκπεσὼν τῆς βασιλείας προσέφυγε τῇ μονῇ τῶν Στουδίου, κἀκεῖσε παρὰ τοῦ λαοῦ καταχθεὶς ἐν τῷ κιονίῳ τοῦ σίγματος ἐτυφλώθη παρὰ Νικηφόρου ἐπάρχου τοῦ Καπάνεως.

Αἱ δὲ δύο αὐτάδελφαι καὶ δέσποιναι, ἥ τε κυρὰ Ζωὴ καὶ κυρὰ Θεοδώρα, μοναρχήσασαι μῆνας τρεῖς, ἀνεκαλέσαντο Κων-

9 αὐτοῦ Vallicell.

Nicephorus Phocas, qui a Tzimisce interfectus est, imperavit annos 6 menses 3 dies 6.

Ioannes Tzimisces annos 6 et mensem unum.

Dominus Basilius Porphyrogenitus cum fratre Constantino Porphyrogenito imperavit annos 52 menses 11, nimirum dominus Basilius annos 50, et dominus Constantinus post mortem fratris solus annos 2 menses 11.

Constantinus Porphyrogenitus, frater eius, annos 2 menses 11.

Romanus Argyropylus cum Zoe filia supradicti Constantini annos 5 menses 6.

Michael Paphlago ab eadem Zoe ad imperium vocatus anno 6541 imperavit annos 7 menses 9.

Michael Calaphates, nepos eius, ex Caesare imperator creatus et excaecatus in Sigmate, imperavit menses 4 dies 19. hic imperio detrusus confugit in monasterium Studii, et inde a populo extractus et in columna Sigmatis excaecatus est a Nicephoro praefecto.

Caeterum duae sorores et Augustae, nimirum domina Zoe et domina Theodora, postquam solae imperaverant menses 3, accersive-

σταντῖνον τὸν μονομάχον, ἐξόριστον ὄντα ἐν τῇ νήσῳ τῇ Μιτυλήνῃ, καὶ ἐποίησαν αὐτὸν βασιλέα συζυγέντα τῇ Ζωῇ, μηνὶ P 79 Ἰουνίῳ ια', ἰνδικτιῶνος ι', ἔτους ,ςφν'· καὶ ἐκράτησε τῆς βασιλείας ὁ μονομάχος ἔτη ιγ' μῆνας ζ'.

Ἡ κυρὰ Θεοδώρα ἡ πορφυρογέννητος ἔφθασε μοναρχῆσαι ἔτος α' μῆνας η' ἡμέρας κ'. εἶτα τὸν κύριον Μιχαὴλ τὸν γέροντα, τὸν ἀπὸ στρατιωτικοῦ, βασιλέα ἀναγορεύσασα, καὶ ζήσασα μετ' αὐτοῦ ἡμέρας ε', ἐτελεύτησε κατὰ τὴν κβ' τοῦ Αὐγούστου μηνός, τῆς θ' ἰνδικτιῶνος τοῦ ,ςφξδ' ἔτους.

Ὁ κύριος Μιχαὴλ ὁ γέρων ὁ στρατιωτικὸς ἐκράτησε κατὰ τὴν κβ' τοῦ Αὐγούστου μηνός, τῆς θ' ἰνδικτιῶνος τοῦ ,ςφξδ' B ἔτους. ἐξεβλήθη δὲ τῆς βασιλείας κρατήσας ἔτος α' ἡμέρας ια'.

Ὁ κύριος Ἰσαάκιος ὁ Κομνηνὸς μετὰ Αἰκατερίνης τῆς γυναικὸς αὐτοῦ ἔτη β' μῆνας β' ἡμέρας κδ'.

Ὁ κύριος Κωνσταντῖνος ὁ Δούκας ἔτη ζ' μῆνας ς'. καὶ τελευτήσας κατέλιπε βασιλεύουσαν τὴν γυναῖκα αὐτοῦ τὴν δέσποιναν, τὴν κυρὰν Εὐδοκίαν τὴν Μακρεμβολίτισσαν, σὺν τῷ υἱῷ αὐτοῦ τῷ κυρῷ Μιχαὴλ καὶ τῷ κυρῷ Κωνσταντίνῳ τῷ πορφυρογεννήτῳ. ἐκράτησεν οὖν καὶ ἡ κυρὰ Εὐδοκία ἡ δέσποινα σὺν τοῖς δυσὶν υἱοῖς αὐτῆς μῆνας ζ' ἡμέρας ι'. εἶτα λαβοῦσα ἄνδρα γνώμῃ τοῦ πατριάρχου καὶ τῆς συγκλήτου πάσης τὸν κύριον

8 κβ' τοῦ] κζ' τοῦ αὐτοῦ μ. Vallicell. 13 ὁ κύριος κωνσταντῖνος ὁ υἱὸς αὐτοῦ μετὰ τῆς γυναικὸς αὐτοῦ ἔτη β' μῆνας β' ὥρας κδ' alii.

runt Constantinum Monomachum, in insula Mitylene exsulantem, et Zoe ei in matrimonium data imperatorem creaverunt, die Iunii undecimo, indictione decima anni 6550. imperavit autem Monomachus annos 13 menses 7.

Domina Theodora Porphyrogenita imperavit sola annum 1 menses 8 dies 20; postea dominum Michaelem seniorem Stratioticum declaravit imperatorem, et cum eo vixit dies 5. obiit autem die 22 Augusti, indictione nona anni 6564.

Dominus Michael Senior ac Stratioticus dictus imperare coepit die 22 Augusti, indictione nona anni 6564. detrusus autem est imperio, cum imperasset annum 1 dies 11.

Dominus Isaacius Comnenus cum Haecaterina uxore sua imperavit annos 2 menses 2 dies 24.

Dominus Constantinus Ducas imperavit annos 7 menses 6, et moriens imperii heredes reliquit Augustam Eudociam uxorem suam et filios dominum Michaelem et dominum Constantinum Porphyrogenitum. imperavit igitur domina Eudocia Augusta cum duobus filiis menses 7 dies 10. postea assensu patriarchae et universi senatus nupsit domino

C Ῥωμανὸν τὸν Διογένην ἀνηγόρευσεν αὐτὸν βασιλέα κατὰ τὸν Μάρτιον μῆνα τῆς ε´ ἰνδικτιῶνος τοῦ ,ϛφοε´ ἔτους.

Ὁ κύριος Ῥωμανὸς ὁ Διογένης μετὰ τῆς κυρᾶς Εὐδοκίας ἔτη γ´ μῆνας η´. καὶ διαφόρως ἐκστρατεύσας κατὰ Περσῶν, ἐν τῇ τρίτῃ αὐτοῦ ἐκστρατείᾳ ἐκρατήθη αἰχμάλωτος παρὰ τοῦ σουλτάνου καὶ τῶν Τούρκων. ἀνηγορεύθη δὲ βασιλεὺς ὁ κύριος Μιχαὴλ ὁ Δούκας, καὶ ἐκράτησε τῆς βασιλείας ἅμα τῇ μητρὶ αὐτοῦ Εὐδοκίᾳ, καὶ συνεβασίλευσε ταύτῃ μῆνα α´. κατεβίβασε δὲ πάντας καὶ ἀπέκειρε, μόναρχος αὐτὸς κληθείς.

Ὁ οὖν κύριος Μιχαὴλ ὁ Δούκας, ὁ υἱὸς τοῦ κυρίου
D Κωνσταντίνου καὶ τῆς Μακρεμβολιτίσσης κυρᾶς Εὐδοκίας, μετὰ Μαρίας τῆς γυναικὸς αὐτοῦ, ἔτη ϛ´ καὶ ἥμισυ. καταβιβασθεὶς δὲ παρὰ τοῦ Βοτανιάτου ἀπὸ προδοσίας τῆς συμβίου αὐτοῦ, καὶ τὸ μοναχικὸν σχῆμα ἐνδυθείς, ἀπεστάλη εἰς τὴν μονὴν τῶν Στουδίου. ὕστερον δὲ γέγονε καὶ μητροπολίτης Ἐφέσου.

Ὁ κύριος Νικηφόρος ὁ Βοτανιάτης ἔτη γ´ καὶ ἥμισυ. κατεβιβάσθη δὲ τῆς βασιλείας κατὰ τὴν πρώτην τοῦ Ἀπριλλίου μηνὸς τῆς δ´ ἰνδικτιῶνος τοῦ ,ϛφπθ´ ἔτους, καὶ ἀποσταλεὶς ἐν τῇ μονῇ τῆς περιβλέπτου ἀπεκάρη.

Ὁ κύριος Ἀλέξιος ὁ Κομνηνός, ὁ πάππος τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν βασιλέως, ἐβασίλευσεν εὐσεβῶς ἔτη λζ´ μῆνας δ´
P 80 καὶ ἥμισυ, ἐτελεύτησε δὲ κατὰ τὴν ιε´ τοῦ Αὐγούστου μηνός,

9 μόναρχος καταληφθεὶς Vallicell. 18 δ´] ϛ´ Vallicell.

Romano Diogeni, et imperatorem eum declaravit mense Martio, indictione 5 anni 6575.

Dominus Romanus Diogenes cum domina Eudocia imperavit annos 3 menses 8; et diversis expeditionibus Persas aggressus, in tertia ipsemet a sultano et Turcis captus est. eius loco imperator creatus est Michael Ducas, et una cum matre sua Eudocia imperavit mensem 1; postea vero eam in monasterium detrusit, et solus imperium administravit.

Imperavit igitur dominus Michael Ducas, filius domini Constantini et dominae Eudociae, cum Maria uxore sua annos 6 cum dimidio. dein proditione coniugis a Botaniate imperio deiectus et in monasterium Studii detrusus et postea Ephesi metropolita factus est.

Dominus Nicephorus Botaniates imperavit annos 3 cum dimidio. amisit autem imperium primo die Aprilis, 4 indictione anni 6589. et ablegatus est in monasterium deiparae cognomento Spectabilis seu admirandae.

Dominus Alexius Comnenus, avus potentis et sancti imperatoris nostri, imperavit pie annos 37 menses 4 cum dimidio. obiit

ἤτοι τῆς ἡμέρας τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου, ἰνδικτιῶνος ια' τοῦ ,ςχκς' ἔτους.

Ὁ κύριος Ἰωάννης ὁ Κομνηνὸς ὁ πορφυρογέννητος, ὁ υἱὸς αὐτοῦ, ἐκράτησε μηνὶ Αὐγούστῳ ιε', ἰνδικτιῶνος ια' τοῦ ,ςχκς' ἔτους, καὶ εὐσεβῶς ἐβασίλευσε καὶ θεαρέστως ἔτη κδ' μῆνας ζ' ἡμέρας κγ'.

Ὁ υἱὸς αὐτοῦ ὁ πορφυρογέννητος κύριος Μανουὴλ ὁ Κομνηνὸς ἐκράτησε μηνὶ Ἀπριλλίῳ α', ἰνδικτιῶνος ς' τοῦ ,ςχνα' ἔτους, καὶ ἐβασίλευσεν εὐσεβῶς ἔτη λζ' μῆνας ε' ἡμέρας κγ'. ἐξεδήμησε δὲ πρὸς κύριον τῇ κδ' τοῦ Σεπτεμβρίου μηνός, τῆς ιδ' ἰνδικτιῶνος τοῦ ,ςχπθ' ἔτους, ὥρᾳ α', διὰ τοῦ μεγάλου καὶ ἀγγελικοῦ σχήματος Ματθαῖος μοναχὸς μετονομασθείς. B κατὰ δὲ τὴν ι' μηνὸς Σεπτεμβρίου, ἰνδικτιῶνος γ' ἔτους ,ςχοη', ἤγουν ἐν τῷ κη' ἔτει τῆς βασιλείας αὐτοῦ, ἐγεννήθη ὁ κάλλιστος υἱὸς αὐτοῦ ὁ πορφυρογέννητος κύριος Ἀλέξιος ὁ Κομνηνός. ἐστέφθη δὲ παρ' αὐτοῦ ὁ τοιοῦτος εἰς βασιλέα κατὰ ἰνδικτιῶνα ε' τοῦ ,ςχπ' ἔτους. μηνὶ Σεπτεμβρίῳ ιζ', ἰνδικτιῶνος ι' ἔτους ,ςχπε' γέγονεν ἐν τῷ ** κατάλυσις τοῦ βασιλέως κυρίου Μανουὴλ τοῦ Κομνηνοῦ. κατὰ δὲ τὴν ιγ' ἰνδικτιῶνα τοῦ ,ςχπη' ἔτους, μηνὶ Μαρτίῳ β', ἡμέρᾳ κυριακῇ, συνέζευξε τὸν κύριον Ἀλέξιον τὸν υἱὸν αὐτοῦ γυναικὶ τῇ κυρᾷ Ἄννῃ, τῇ θυγατρὶ τοῦ εὐγενεστάτου ῥηγὸς Φραγγίας, μετὰ ἀραβῶνος εὐχῆς τούτοις δοθείσης παρὰ τοῦ οἰκουμενικοῦ πατριάρχου κυροῦ Θεοδοσίου τοῦ Ἀντιοχέως. κατὰ δὲ τὴν κδ' τοῦ

17 μηνὸς σεπτεμβρίου ια' Vallicell. 18 μιχαὴλ plerique.

die 15 Augusti, seu vespera assumptionis B. deiparae, indictione 11 anni 6626.

Dominus Ioannes Comnenus, Porphyrogenitus, filius eius, imperare coepit die 15 Augusti, indictione 11 anni 6626, et pie imperavit annos 24 menses 7 dies 23.

Filius eius Porphyrogenitus Manuel Comnenus imperare coepit primo die Aprilis, indictione 6 anni 6651, et imperavit pie annos 37 menses 5 dies 23. obiit 24 die Septembris, indictione 14 anni 6689, hora tertia, et mutato nomine dictus fuit Matthaeus monachus. decimo autem die Septembris, indictione 3 anni 6678, sive anno 28 imperii eius, natus est pulcherrimus filius eius Porphyrogenitus dominus Alexius Comnenus. coronatus autem est a patre indictione 5 anni 6680. die autem 17 Septembris, indictione 10 anni 6685, imperio decessit dominus Manuel Comnenus. indictione vero 13 anni 6688, secundo die Martii, die dominica, domino Alexio filio suo in matrimonium dedit dominam Annam, nobilissimi regis Franciae filiam, cum arrhabone orationis, opera domini Theodosii patriarchae Antiochiae. caeterum die 24 Se-

C Σεπτεμβρίου μηνός, τῆς ιδ' ἰνδικτιῶνος τοῦ ,ςχπθ' ἔτους, ὥρᾳ α' τῆς ἡμέρας καθ' ἣν ὁ ἀείμνηστος πατὴρ αὐτοῦ τῆς ἐπιγείου βασιλείας ἠλλάξατο τὴν οὐράνιον, ἀνηγορεύθη αὐτοκράτωρ, καὶ ἐβασίλευσεν εὐσεβῶς σὺν τῇ μητρὶ αὐτοῦ τῇ δεσποίνῃ τῇ κυρᾷ Μαρίᾳ, τῇ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος Ξένῃ μετονομασθείσῃ, ἐχούσῃ παραδυναστεύοντα τὸν πρωτοσεβαστὸν καὶ πρωτοβεστιάριον κύριον Ἀνδρόνικον τὸν Κομνηνὸν ἔτος α' μῆνας ια' ἡμέρας γ'. εἶτα δῆθεν μόνης ἀναιρεθείσης τῆς ἁγίας γυναικὸς ἐκείνης παρὰ τοῦ τυράννου ἐκεῖ, καὶ αὐτοῦ τοῦ τυράννου αὐθεντικῶς ποιοῦντος ὅσα ἐβούλετο χρόνον ἕνα μῆνας ια' ἡμέρας κδ', εἶτα ἀποπνιγέντος καὶ αὐτοῦ τοῦ πορφυρογεννήτου παρὰ τοῦ
D τυράννου, ἐβασίλευσεν ἀναφανεὶς ὁ αὐτὸς Ἀνδρόνικος ἔτος ἓν μῆνας ι' ἡμέρας ι'. μετὰ ταῦτα ὑστέρως αὐτοῦ ὁ κύριος Ἰσαάκιος ὁ Ἄγγελος προσφυγὼν τῇ ἐκκλησίᾳ, κἀκεῖθεν ἀπελθὼν σὺν τῷ συρφετώδει λαῷ καὶ τοῖς φυλακίταις καί τισι τῶν συγγενῶν καὶ φίλων αὐτοῦ καὶ αὐτῷ τῷ πατριάρχῃ κυρῷ Βασιλείῳ τῷ Καματηρῷ εἰς τὸ μέγα παλάτιον, καὶ εἰσελθὼν ἐν αὐτῷ καὶ τῆς βασιλείας δεξάμενος, τοῦ Ἀνδρονίκου φυγόντος. ἑάλω δὲ ἀνέμων βιαίων ἀντιπνευσάντων αὐτῷ ἐν τῷ Εὐξείνῳ πόντῳ ἤτοι τῇ μεγάλῃ θαλάσσῃ, καὶ ἔπαθεν ὅσα αὐτὸν ἴσως ἔδει παθεῖν. Χριστιανοὺς δὲ καὶ Ῥωμαίους ταῦτα πρᾶξαι ἀνοίκειον ἦν ὅμως.
P 81 ἐβασίλευσε ὁ κύριος Ἰσαάκιος ὁ Ἄγγελος ἔτη θ'. ἐπ' αὐτοῦ ἔσχεν ἀρχὴν ἡ ἐν Ζαγορίᾳ Βλάχων καὶ Βουλγάρων κατὰ τῶν

7 ια'] ς' Vallicell. 10 ἡμέρας] ὥρας Vallicell.

ptembris, indictione 14 anni 6689, hora tertia diei quo pater eius imperium terrestre cum caelesti commutavit, imperator renuntiatus est, et pie imperavit cum matre sua domina Maria, quae post assumptum ordinem monasticum Xene sive Peregrina nominata fuit, et imperii collegam habuit dominum Andronicum Comnenum protosebastum et protovestiarium, annum 1 menses 11 dies 3. postea vero sanctam illam feminam Andronicus tyrannus clanculum interfici curavit, et annum 1 menses 11 dies 24 omnia pro lubito administravit, atque demum ipso Alexio Porphyrogenito strangulato aperte imperavit annum 1 menses 10 dies 10. deinde Isaacius Angelus ad ecclesiam confugit, et inde cum incomposita populi colluvie et custodibus atque quibusdam suis cognatis et amicis, ipsoque patriarcha domino Basilio Camatero, ad magnum palatium ivit, atque eo ingressus imperium suscepit. Andronicus autem quamvis sese in fugam dedisset, attamen ventorum adversorum vi impeditus et captus est in Ponto Euxino sive mari magno, atque illa passus est quae ipsum quidem pati par erat, Christianos vero et Romanos agere non conveniebat. imperavit igitur dominus Isaacius Angelus annos 9. eius tempore in Zagoria initium coepit bellum Walachorum

Χριστιανῶν Ῥωμαίων ἐπανάστασις, καὶ ἐληλατίσθη πᾶσα ψυχὴ καὶ ἠφανίσθη πᾶσα σχεδὸν δυτικὴ χώρα, ὑπὸ τὴν Ῥωμαϊκὴν οὖσα ἐπικράτειαν. ὀψὲ δέ ποτε ἐγερθέντες δῆθεν ἐκεῖνοι καὶ ὁρμήσαντες ἐκστρατεῦσαι κατ' αὐτῶν, καὶ οὐκ ὀλίγα ἐπισυναγαγόντες στρατεύματα, ὅμως καὶ οὕτως μετὰ τῆς συνήθους νωθρείας ἢ δειλίας περιπατοῦντες, ἢ ὅ τι ἂν εἴποι τις, καὶ διὰ τῶν κατ' αἰγιαλῶν κατερχομένου κάστρων, καὶ ἀπελθόντες μέχρι τῶν Κυψέλων, ὁ αὐτάδελφος αὐτοῦ κύριος Ἀλέξιος ὑποποιησάμενος τὸ στρατόπεδον καί τινας τῶν ὑπερεχόντων, μετὰ τοῦ αὐτοῦ ταῦτα αἰτιᾶσθαι τὸν ἀδελφὸν αὐτοῦ ἅπερ αὐτὸς μετὰ τὸ ἐγκρατὴς B *γενέσθαι τῆς βασιλείας πολλαπλασίονα ἐνεδείξατο, ἀνηγορεύθη βασιλεὺς αὐτοκράτωρ καὶ ἀμάχως ἐκάθισεν ἐπὶ τῆς σκηνῆς καὶ τῆς κλίνης αὐτοῦ, ἐκείνου πρὸς κυνηγέσιον ἀπελθόντος. ὃ καὶ μαθὼν ἐκεῖνος φυγῇ ἐχρήσατο. ἁλοὺς δὲ παρὰ τῶν οἰκείων αὐτοῦ, καὶ οὓς ἐν τάξει μεγάλων ἀνθρώπων εἶχε καὶ πιστοτάτων ἀνθρώπων, ἀπετυφλώθη ἐν τῇ κλεισούρᾳ τῆς Μάκρης, καὶ ἐβασίλευσεν ὁ κύριος Ἀλέξιος ἔτη ζ'. οὐαὶ δὲ τὴν Ῥωμανίαν ἐν ἐκείναις ταῖς ἡμέραις· αὐτοῦ γὰρ Σαρδαναπάλου διάγοντος, καὶ μηδ' ὅλως μήτε αὐτοῦ μήτε τῶν θεραπευτῶν αὐτοῦ οἱανδή τινα στρατιωτικὴν ἢ ἀρχοντικὴν οἰκονομίαν ἐνησχολημένων, τὰ μὲν* C *περιλειφθέντα κάστρα καὶ αἱ χῶραι τῆς δύσεως λεία Βλάχων γεγόνασι καὶ Κομάνων, μέχρι καὶ αὐτῶν τῶν παραλίων, καὶ τὰ πλείω δὲ ὑπὸ τὸν Ἰωαννίτζην γεγόνασι καθ' ὁλόκληρον. τέλος*

3 *ἐγερθέντος δῆθεν ἐκείνου καὶ ὁρμήσαντος — ἐπισυναγαγόντος — περιπατοῦντος — ἀπελθόντος?* 9 *μετὰ τοῦ αὐτὸς?* an *αὐτά?*

et Bulgarorum adversus Christianos Romanos, quo omnis anima praedando abacta, et tota fere occidentalis regio potestati Romanae subiecta devastata est. sed cum longo tandem post tempore Romani expergefacti expeditionem in eos pararent, et non mediocres coegissent exercitus, et nihilominus tamen cum solita pigritia et timiditate procederent, cum ad Cypsela perventum esset, frater imperatoris dominus Alexius, conciliato sibi favore exercitus et quorundam eorum qui ei praeerant, fratrem suum earum rerum incusare coepit quas ipse, postquam imperio potitus est, multo amplius commisit, et imperator salutatus solium eius sine controversia occupavit. quo audito imperator Isaacius, qui venatum iverat, fugam tentavit: sed captus a familiaribus suis, quos prae caeteris magni aestimaverat sibique fidissimos, excaecatus est in claustro Macrae, imperavitque dominus Alexius annos 7. vae autem Romaniae in illis diebus! imperatore enim Sardanapali instar vivente, et neque ipso neque ministris eius ad militarem disciplinam et gubernationem imperii intentis, multa ex reliquis castris et regionibus occidentalibus et maritimis in Walachorum et Comanorum potestatem devenerunt, plurima vero integre a Ioannitze occupata sunt. tandem quoque

δὲ καὶ αὐτὴν τὴν μόνην περιλειφθεῖσαν εἰς βασιλείαν αὐτοῦ βασιλίδα τῶν πόλεων τοῖς Λατίνοις προέδοτο, αὐτὸς ἀνάνδρως καὶ ἀχρήστως φυγών. τοῦ γὰρ ἀνεψιοῦ αὐτοῦ κυρίου Ἀλεξίου, τοῦ υἱοῦ τοῦ κυρίου Ἰσαακίου, φυγόντος ἐντεῦθεν, ἀπελθόντος εἰς Ἀλαμανίαν εἰς τὸν ἐπ' ἀδελφῇ γαμβρὸν αὐτοῦ τὸν Φίλιππον, τοῦ μετὰ στόλου Λατινικοῦ βαρέως ἀπελθόντος, μετὰ τὸ ἐπισυναχθῆναι πανταχόθεν τοὺς στρατιώτας καὶ σφαδάζειν ὑπὲρ D *τῆς πατρίδος αὐτῶν, ἐφαίνετο αὐτὸς ἡμέραν ἐξ ἡμέρας τὸν πρὸς τοὺς Λατίνους ὑπερθέμενος πόλεμον. τέλος νύκτωρ ὡς ὠνητὸν ἀπέδρα ἀνδράποδον. εἰσῆλθεν οὖν διὰ τῆς νυκτὸς ἐκεῖ εἰς τὸ ἐν Βλαχέρναις παλάτιον ὁ ἀνεψιὸς αὐτοῦ κύριος Ἀλέξιος, καὶ ἀνηγορεύθη σὺν τῷ πατρὶ αὐτοῦ κυρίῳ Ἰσαακίῳ, καὶ ἐβασίλευσεν ἔτη * μῆνας ε'. ὅτε δὲ ἑώρα ὁ χυδαῖος δῆμος αὐθεντικῶς εἰσερχομένους ἐν τῷ μεγάλῳ παλατίῳ τοὺς Λατίνους καὶ μέγα κακὸν παθεῖν ἐξ αὐτῶν ὑπώπτευσαν, ὃ καὶ ἐξ ἀποτελέσματος ἀληθὲς ἐφάνη, συνῆλθον ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ, καὶ μετὰ πολλὰς ὀχλήσεις καὶ ἀναστασίας ἀνηγόρευσαν βασιλέα τὸν σεβαστὸν κύριον Νικόλαον τὸν Καναβόν, καὶ διήρκεσεν ὁ καλὸς ἐκεῖνος ἄνθρω-* P 82 *πος κακοπαθῶν ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ ὀλιγίστας τινὰς ἡμέρας. μαθόντες γὰρ ταῦτα οἱ ἐν τῷ παλατίῳ τὸν μὲν κύριον Ἀλέξιον παρέστειλαν τῆς ἀρχῆς, τὸν δὲ Δούκαν κύριον Ἀλέξιον τὸν λεγόμενον Μούρτζουφλον ἀνηγόρευσαν, καὶ οὕτω κατὰ μικρὸν ἀπέρρευσαν τὸ πλῆθος ἀπὸ τῆς ἐκκλησίας εἰς τὸ παλάτιον πρὸς τὸν*

4 *εἰς*] *δὲ εἰς*? 6 *τοῦ — ἀπελθόντος*] *καὶ — κατελθόντος*?
9 *ὑπερτιθέμενος*? 10 *δι' αὐτῆς νυκτὸς* alii.

ipsa urbium regina Cpolis, quae sola in imperatoris potestate supererat, turpi ipsius et inutili fuga Latinis prodita est. cum enim nepos eius dominus Alexius domini Isaacii filius, qui in Alemaniam confugerat ad Philippum sororis suae maritum, collectis undique militibus cum magna Latinorum classe inde reverteretur de patria sibi erepta dimicaturus, primo quidem imperator bellum adversus Latinos de die in diem differre videbatur, demum vero per noctem quasi venale mancipium aufugit. quare nepos eius dominus Alexius noctu palatium Blachernarum ingressus et cum patre suo domino Isaacio imperator salutatus est, imperavitque menses 5. plebs vero cum Latinos pro libito magnum palatium intrare videret, et quod postea eventus comprobavit, se magnum malum ab iis passuros esse coniectaret, in magnam ecclesiam convenit, et post multas turbas et tumultuationes imperatorem salutavit dominum Nicolaum Canabum, qui paucissimos dies aerumnose in ecclesia magna permansit. his enim de rebus certiores facti qui erant in palatio, dominum Alexium imperio abdicarunt, et eius loco imperatorem creaverunt dominum Alexium Ducam Murtzuphlum. paulo itaque post populus ab ecclesia in palatium discessit ad dominum Alexium Ducam; capto-

Δούκαν Ἀλέξιον· ὁ δὲ Καναβὸς ἑάλω. καὶ ἐβασίλευσεν ὁ Δούκας κύριος Ἀλέξιος μῆνας β'. ἐκτότε οὖν ἀναισχυντότερον καὶ ἀναφανδὸν ἤρξαντο οἱ Λατῖνοι τήν ποτε βασιλίδα πολιορκεῖν τῶν πόλεων, καὶ εἰς ἔργον τὸ προβουλευθὲν διὰ βραχέος ἐξηνέχθη, καὶ ὁ βασιλεὺς ᾐχμαλωτίσθη, καὶ δούλη γέγονεν ἡ κυρία καὶ B *παντάπορος ἡ πολύολβος, καὶ ἐβεβηλώθησαν, οἴμοι οἴμοι, τὰ ἅγια, αἱ ἅγιαι εἰκόνες κατεπατήθησαν, ἱπποστάσια γεγόνασιν οἱ θεῖοι ναοί, εἰπεῖν δι' ὀλίγου τὸ πᾶν, ἐγκατελείφθη ἡ θυγάτηρ Σιὼν ὡς σκηνὴ ἐν ἀμπελῶνι καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηλάτῳ, ἔρημος παντὸς ἀγαθοῦ, πλήρης παντοίων κακῶν.*

Θεόδωρος ὁ Λασκάρης, ἀνὴρ γεννάδας καὶ κραταιός. οὗτος καὶ οἱ μετ' αὐτὸν μέχρι τοῦ πρώτου Παλαιολόγου κυρίου Μιχαὴλ διῆγον ἔχοντες τὰ βασίλεια ἐν τῇ Ἀσίᾳ τῇ ἀντιπέραν δηλαδὴ Κωνσταντινουπόλεως, φυγάδες ὄντες τοῖς Λατί- C *νοις, ἔτη ιθ'.*

Μετὰ τοῦτον ἐκράτησεν Ἰωάννης ὁ Δούκας ὁ λεγόμενος Βατάτζης, συνετὸς καὶ βριαρόχειρ ἀναφανείς, ἔτη λγ'.

Ὁ κύριος Θεόδωρος ὁ Λασκάρης ὁ δεύτερος, ὁ υἱὸς αὐτοῦ ὁ πορφυρογέννητος, ἔτη γ' καὶ ἥμισυ.

Μετὰ τοῦτον ἐκράτησεν καὶ ἐβασίλευσεν ὁ κραταιὸς Μιχαὴλ ὁ πρῶτος τῶν Παλαιολόγων, ὃς ἐξέωσε τοὺς Λατίνους τῆς βασιλίδος τῶν πόλεων, καὶ ἀπέδωκεν αὐτῇ πάλιν τὸν οἰκεῖον αὐτῆς κόσμον, ἔτη κδ' μῆνας β' ἡμέρας κ'.

que Canabo imperavit dominus Alexius Ducas menses 2. tunc Latini Cpolim, olim reginam urbem, gravius et manifestius obsidere coeperunt, et brevi coeptum ad finem perductum est, captoque imperatore urbs domina in servitutem redacta est et omnigenis oppleta miseriis: nam sacra profanata sunt, et sanctae imagines conculcatae, et deo sacrata templa in stabula equorum mutata, et ut summatim omnia dicam, derelicta est filia Sion ut umbraculum in vinea et sicut tugurium in cucumerio, vacua omni bono et referta omnigenis miseriis.

Theodorus Lascares, vir generosus et potens, et caeteri post ipsum usque ad primum Palaeologum dominum Michaelem, fugati a Latinis, imperii sedem posuerunt in Asia, e regione scilicet Cpoleos; imperavitque Theodorus Lascares annos 19.

Post hunc imperavit Ioannes Ducas cognomento Batatzes annos 33.

Dominus Theodorus Lascares secundus, filius eius Porphyrogenitus, imperavit annos 3 cum dimidio.

Post hunc imperio potitus est Michael primus Palaeologorum, qui Latinos Cpoli expulit, eique pristinum splendorem restituit, imperavitque annos 24 menses 2 dies 20.

Ἀνδρόνικος ὁ υἱὸς αὐτοῦ, ὁ εὐσεβέστατος καὶ νοῦς ἀσύγκριτος, ἔτη με' μῆνας ϛ'.

D *Μιχαὴλ ὁ υἱὸς αὐτοῦ δεύτερος, ὁ λόγῳ καὶ πράξει βασιλεὺς ὄντως, ἔτη ιγ' ἡμέρας κβ'.*

Ἀνδρόνικος ὁ υἱὸς αὐτοῦ ὁ πορφυρογέννητος, ἡ τῶν χαρίτων συνδρομή, ἔτη λα' μῆνας τρεῖς.

Μανουὴλ ὁ υἱὸς αὐτοῦ ὁ πορφυρογέννητος, ὁ στρατηγικώτατος καὶ τῶν ἀνακτόρων κλέος, ἔτη μα'.

Ἰωάννης ὁ Καντακουζηνός, ὁ τῷ σχήματι μετονομασθεὶς Ἰωασὰφ μοναχός, ἔτη ιδ'.

Ἰωάννης τῶν Παλαιολόγων ὁ δεύτερος ὁ ἕκτος, ὁ διὰ τοῦ θείου καὶ ἀγγελικοῦ σχήματος μετονομασθεὶς Ἰωασὰφ μοναχός, ὁ πορφυρογέννητος, ἔτη β' καὶ ἥμισυ.

Μανουὴλ ὁ δεύτερος, ὁ υἱὸς Ἰωάννου, ὁ πορφυρογέννητος, ἔτη ιβ' μῆνας δ' ἡμέρας κε'.

P 83 *Ἰωάννης τρίτος, ὁ υἱὸς αὐτοῦ, ὁ πορφυρογέννητος, ὁ συγκροτήσας τὴν σύνοδον ἐν τῇ Φλωρεντίᾳ καὶ συγκλίνας κατ' ἀνάγκην τοῖς Λατίνοις, συμπαρόντων τῶν τε ἄλλων λογάδων καὶ αὐτοῦ τοῦ κυροῦ Μάρκου τοῦ εὐγενικοῦ καὶ μητροπολίτου Ἐφέσου, ἔτη κγ' μῆνας γ' ἡμέρας ι'.*

11 *ἰωάννης ὁ β', ὁ ϛ' τῶν παλαιολόγων*, Lamb. 18 *τοῖς δόγμασι τῶν λατίνων* Vallicell.

Andronicus filius eius, piissimus et animi incomparabilis, imperavit annos 45 menses 6.

Michael filius eius, secundus istius nominis ex Palaeologis, nomine et re ipsa imperator, imperavit annos 13 dies 22.

Andronicus filius eius Porphyrogenitus, gratiarum compendium, imperavit annos 31 menses tres.

Manuel filius eius Porphyrogenitus, militum flos et imperatorum decus, imperavit annos 41.

Ioannes Cantacuzenus, qui postquam factus fuit monachus, nominari voluit Ioasaph, imperavit annos 14.

Ioannes illius nominis secundus, Palaeologorum sextus, Porphyrogenitus, assumpto habitu monachi dictus Ioasaph, imperavit annos 2 cum dimidio.

Manuel secundus eius nominis, filius Ioannis Porphyrogenitus, imperavit annos 12 menses 4 dies 25.

Ioannes eius nominis tertius, filius Manuelis Porphyrogenitus, qui synodum convocavit Florentiae, et necessitate coactus ad Latinos inclinavit, una praesentibus cum aliis viris delectis tum vero etiam ipso domino Marco metropolita Ephesino, imperavit annos 23 menses 3 et dies 10.

Κωνσταντῖνος τῶν Παλαιολόγων ὁ ὕστερος, ὁ ἀδελφὸς αὐτοῦ, ὁ πορφυρογέννητος, ὁ δικαιότατος, μόνος ὢν δεσπότης ἁπάσης τῆς Πελοποννήσου, καὶ μετὰ τὸν θάνατον τοῦ ἀδελφοῦ B
αὐτοῦ κυροῦ Ἰωάννου εἰς τὸ τῆς βασιλείας ὕψος ἀρθείς, ἔτη δ' μῆνας ε'.

Ἐπὶ τούτου ἐγένετο, οἴμοι, ἡ ἅλωσις τῆς αὐτῆς Κωνσταντινουπόλεως παρὰ τῶν ἀθέων Ἀγαρηνῶν ἐν ἔτει ,ϛϡξα', καὶ ἐγένετο δορυάλωτος ἡ πρὶν βασιλὶς πασῶν τῶν πόλεων. ὃς καὶ ἀπεκτάνθη τότε παρ' αὐτῶν ἐν τῇ γενομένῃ χαλάστρᾳ, αὐτός τε καὶ πάντες οἱ λογάδες σχεδόν, καὶ ἐκομίσατο τὸν τοῦ μαρτυρίου στέφανον, μὴ θελήσας προδοῦναι τοῖς ἀνόμοις τὰ βασίλεια, μήτε μὴν θελήσας τὸν κίνδυνον διαφυγεῖν, δυνατοῦ ὄντος.

4 *ἀρθείς*] *ἐναχθεὶς* Vallicell.

Constantinus Palaeologorum ultimus, frater Ioannis Porphyrogenitus, iustissimus, solus totius Peloponnesi dominus fuit, et post mortem fratris domini Ioannis ad imperii fastigium evectus est, imperavitque annos 4 menses 5.

Sub hoc imperatore anno 6961 Cpolis ab impiis Agarenis expugnata est, et quae prius omnium urbium regina fuerat, hostili manu capta est. ipse etiam imperator cum omnibus fere proceribus inter illam urbis desolationem ab iis occisus est et martyrii coronam obtinuit, cum neque palatium imperatorium impiis illis prodere vellet, neque periculum effugere, quamvis posset.

ΠΑΡΑΣΤΑΣΕΙΣ ΣΥΝΤΟΜΟΙ ΧΡΟΝΙΚΑΙ.

BREVES ENARRATIONES CHRONOGRAPHICAE *)

INCERTO AUCTORE,

FRANCISCO COMBEFISIO

INTERPRETE. **)

Περὶ θεαμάτων.

Θέαμα α′.

P 90 Τὸ ἐν τῇ βασιλικῇ κινστέρνῃ τῇ χρυσορόφῳ ἀνδρείκελον, χρυ-
D σέμβαφον ἄγαλμα ὑπάρχον, ἔνθα τὸ ἔξαμον Ἡρακλείου τοῦ
βασιλέως κατεσκευάσθη, τὸ γονυκλινές, Ἰουστινιανοῦ ἐστὶ τοῦ
κατὰ τὸ δεύτερον τὴν Κωνσταντινούπολιν τυραννήσαντος, καὶ
πλησίον αὐτοῦ τῆς γυναικὸς αὐτοῦ ἀδελφῆς Βουσήρου Γλια-
βάρου, μετὰ τὴν ἧτταν Τιβερίου τοῦ Ἀψιμάρου, ὅτε καὶ

*) Lambecio Anonymi Collectanea Chronica. **) in Manipulo originum rerumque Cpolitanarum, edito Parisiis a. 1664, 4°.

De spectaculis.

Spectaculum primum.

Simulacrum auro obductum in Basilica cisterna auro laqueata, ubi Heraclii imperatoris Examum constructum est, virili specie, in genua provolutum, Iustiniani est, secundo Cpoli tyrannidem exercentis, ac prope eum uxoris eius, sororis Buseri Gliabari, devicto Tiberio Apsi-

Φιλιππικὸς ἐν αὐτῷ τῷ τόπῳ τῆς χρυσοφόρου βασιλικῆς ἀπεδοκιμάσθη, Τερβελὶ τοῦ Βουλγαρίας ἐκεῖσε πολλάκις καθίσαντος, καὶ Γλιαβάρου Χαζάρου. πάκτα οὖν οὐκ ὀλίγα ἐκεῖσε ἐδόθησαν, ἔνθα αὐτοῦ τοῦ τυράννου καὶ τῆς γυναικὸς τὰ ἀγάλματα. ἐν οἷς ἐλέφας ἵσταται παμμεγέθης, ὡς οἱ θηριοδέκται E *ἡμῖν ἐβεβαίωσαν μὴ γενέσθαι ἐπάνω αὐτοῦ τὸ μέγεθος τῶν ἐλεφάντων, τῶν δὲ μεγάλων ἕως οὕτως. οὗτος ὁ ἐλέφας ὑπὸ Σεβήρου τοῦ Κάρου Ἕλληνος ἐτυπώθη θέαμά τι κατὰ τὴν παράδοσιν. ἐν γὰρ τῇ αὐτῇ χρυσορόφῳ βασιλικῇ τὸν ἐλέφαντα παραμένειν εἰς θέαμα ἐξαίσιον· ὅρον γὰρ εἶναι πρὸς τοῦ μέρους τῶν ἀναβαθμῶν τῶν οβʹ ἔλεγον, ἔνθα καὶ σχολὴ φυλαττόντων πόλιν. ἐν αὐτῷ δέ φασι τὸν ἐλέφαντα παραμένειν τῷ τόπῳ ἐκείνῳ Καρκινήλῳ ἀργυροκόπῳ ἐν πλαστοῖς ζυγοῖς τὴν πρᾶσιν ποιουμένῳ· ὥστε τῷ διατρέφοντι τὸν ἐλέφαντα, φασίν, ἀπειλεῖν,* P 91 *ὅτι καὶ ἐπορθεῖτο τούτου τὸ οἴκημα· καὶ πολλάκις διαβεβαιωσαμένου θάνατον τῷ θηριοτρόφῳ, εἰ μὴ τοῦτον κρατήσειεν· αὐτὸς δὲ διὰ τὰς βαγύλας ἐλαιοφόρους κρατῆσαι οὐκ ἐνεδίδου. ὃν καὶ φονεύσας ὁ αὐτὸς ζυγοπλάστης τῷ ἐλέφαντι εἰς βρῶσιν προέθηκε. τοῦ δὲ θηρίου ἀτιθάσσου ὄντος, καὶ αὐτὸν ἐξηνάλωσεν. ὃ καὶ Σεβῆρος ἀκούσας θυσίας τῷ θηρίῳ οὐκ ὀλίγας προσήνεγκεν. ἐν αὐτῷ γὰρ τῷ τόπῳ παρευθὺ καὶ ἀπετυπώθησαν· ἔνθα καὶ Ἡρακλῆς* B *ἐλατρεύθη, παμπόλλας θυσίας δεξάμενος, καὶ ἐν τῷ Ἱπποδρομίῳ μετετέθη εἰς θέαμά τι μέγιστον. τὸ δὲ πρότερον ἀπὸ*

10 *πρὸς τοῦ*] *πρώτου* alii.

mare, quando et Philippicus eodem ipso in loco Basilicae auro laqueatae abrogatus est; ubi plerumque Terbelis Bulgarus et Gliabarus Chazarus sederunt. ibi non paucae pactae pecuniae datae sunt, quo loco item tyranni et uxoris eius statuae sunt. inter quas stat elephas tantae magnitudinis, ut asserentibus belluarum custodibus nullus maiore mole elephas reperiatur. elephas autem ille a Severo Caro Graeco effictus est ad spectaculum, ut aiunt. in illa quippe Basilica auro laqueata statutum fuerat ut elephas consisteret ad ostentum singularissimum. collem enim esse aiebant ante partem graduum octoginta duorum, ubi et schola custodum urbis excubabat. ibi, ut narratur, Carcinelo argentario, iniquis lancibus vendenti, elephas molestiam creabat, ita ut ille gubernatori elephanti plerumque interminatus sit, additis etiam necis inferendae minis nisi elephantum, qui sibi tabernam evertebat, cohiberet. ille vero quod oleum conveheret, elephanto imperare non poterat. quem tandem occisum iniquus argentarius elephanto devorandum apponit. bestia vero nondum cicurata illum quoque interemit. quo audito Severus hostias bestiae non paucas obtulit; atque eo ipso loco confecta statua fuit, ubi etiam Hercules multis hostiis et sacrificiis cultus fuerat. utque multo magis spectaculo esset, in Hippodromum invectus est, cum

Ῥώμης ἐπὶ Ἰουλιανοῦ ὑπατικοῦ ἐπὶ τὸ Βυζάντιον εἰσήχθη, μετὰ καρούχας καὶ νηὸς καὶ στηλῶν δώδεκα. αὕτη, φασίν, ἡ ἱστορία τοῦ θεάματος Σευήρου ἡ ξένη γέγονεν ἐπὶ Ἀνθίμου ὑπάτου· οὗ τινὸς τὰ Ἀνθίμου κατὰ τὴν κέλευσιν Νουζαμήτου ὑπάρχου τῆς πόλεως, τοῦ ἀπὸ Περσῶν, ἀντὶ πάκτων ἐχρηματίσθησαν, ἐν
C ταῖς ἡμέραις Βύζα καὶ Ἀντίου, καὶ ἕως τῆς σήμερον τοῖς φιλοσοφοῦσιν ἐν πείρᾳ προτέθειται θέαμα.

Θέαμα β′
τῶν ἐν τῷ ὡρέῳ μιλίῳ.

D Ἐν τῷ ὡρέῳ μιλίῳ ἡλίου ἅρμα ἐν τέτρασιν ἵπποις πυρίνοις ἱπταμένοις παρὰ δύο στηλῶν ἐκ παλαιῶν χρόνων ὑπῆρχεν, ἔνθα Κωνσταντῖνος εὐφημίσθη μετὰ τὸ νικῆσαι Ἀζώτιον καὶ Βύζαν καὶ Ἄντην, κράζοντος τοῦ Βενέτου μέρους

εἶλες παλίνορσον ἱμάσθλην,
ὡς δὲ δὶς ἡβήσας μαίνεαι ἐν σταδίοις.

τοῦ δὲ Πρασίνου μέρους λέγοντος "οὐ χρῄζομέν σε, λωβέ· οἱ
E θεοὶ ἀνώτεροι αὐτοῦ εἷλον." τοῦ δὲ ἡλίου ἅρματος κατενεχθέντος ἐν τῷ Ἱπποδρομίῳ, δορυφορούμενον εἰσῄει στηλίδιον καινόν, παρὰ Κωνσταντίνου κατασκευασθέν, ὑπὸ ἡλίου φερόμενον, Τύχη πόλεως· ἐν βραβείοις πλείστοις εἰς τὸ στάμα εἰσῄει, καὶ ἔλαβεν ἆθλα παρὰ τοῦ βασιλέως Κωνσταντίνου, καὶ στεφανωθὲν ἐξῄει,

prius Roma Byzantium Iuliano consule cum carruca et nave ac decem aliis statuis translatus fuisset. contigit vero stupenda haec spectaculi Severiani historia Anthimo consule; cuius Anthimi bona, iubente Nuzameto urbis praefecto Persa, pro pacta pecunia solvenda vendita sunt, in diebus Byzae et Antii; hodieque philosophantibus ad experimentum hoc spectaculum prostat.

Spectaculum secundum
de iis quae in aureo miliario erant.

In aureo miliario iam inde ab antiquis temporibus currus solis trahente quadriga equorum ignei coloris quasi volantium a duabus columnis visebatur; ubi Constantinus post victos Azotium Byzantem et Antem Venetae factionis acclamationibus exceptus est:

vertisti retro flagellum,
ac velut bis pubescens, insanis in stadiis

Prasina ex opposito factione dicente, "non te opus habemus, iniuriose: dii illo superiores traxere." solis autem curru in Hippodromum deducto statua illa exigua, urbis scilicet fortuna, quam Constantinus fabricaverat, sole vecta, multis braviis instructa in Hippodromi tribunal veniebat, receptisque a Constantino imperatore victoriae praemiis

καὶ ἐτίθετο ἐν τῷ Σενάτῳ ἕως τῶν γενεθλίων τῆς πόλεως. ὑπὸ δὲ Ἰουλιανοῦ, διὰ τὸν χαραχθέντα σταυρὸν ἐν αὐτῷ, βοθύνῳ, ὅπου τὰ πλεῖστα θεάματα, καὶ αὐτὸ παρεδόθη. F

Θέαμα γ′
τῶν ἐν τῷ φόρῳ.

Βαλμασὰ κεντυρίων φίλος εἰδώλων πάνυ κατέαξε τὸ εἴλημα τοῦ φόρου ὡρολογίου, θέας χάριν, ὡς ἔλεγεν· ὡς δὲ ἐν τῷ δο- P 92 κεῖν μᾶλλον ἕνεκα τοῦ κλέμματος καὶ τοῦτο ποιήσας, ἔκλεψε τὸ Παλλάδος εἴδωλον ἀργυροῦν. καὶ τὰ βαλαντία Ἀσκληπιοδώρου εὑρέθησαν τῶν τριῶν λιτρῶν, καὶ ἡ κορωνὶς Κλεοπάτρας κατασκευασθεῖσα σμαραγδινὰς πάνυ ἀλάβαστρος. τοῦτο γνοὺς ὁ βασιλεὺς Κωνσταντῖνος τὸν αὐτὸν κεντυρίωνα Βαλμασὰ ἐπετίμησεν ἄξιον θανάτου. τοῦ δὲ ἀναισχυντοῦντος καὶ θεοὺς ἐπικαλουμένου, ἀπετμήθη εἰς ἓν τῶν σκαλίων τοῦ αὐτοῦ φόρου, ἔνθα τὰ ἄριστα τὰ πρῶτα ὑπῆρχεν. τὸ δὲ ἐν τῇ δευτέρᾳ καμάρᾳ B γεγονὸς ἄθεσμον οὐ σιωπήσομεν. τὸ τοῦ μοιχοῦ Μαξεντίου εἴδωλον ἐκεῖσε προσεκυνεῖτο λατρευόμενον, καὶ τοῖς πολλοῖς εἰδωλολάτραις ἀγνοούμενον θεὸς ἱππόσυνος ἐλατρεύετο. διὸ Κωνσταντῖνος αὐτὸ μὲν κατέβαλε, τοὺς δὲ τοῦτο τολμήσαντας ἀπεκεφάλισεν. ἔνθα καὶ Ἄρειος μετὰ ταῦτα τὸν μιαρὸν θάνατον ὑπέστη, χείρονα Ἑλλήνων βλασφημῆσαι ἀποτολμήσας ὁ δείλαιος,

---

inde coronata exibat, atque in Senatu usque ad diem urbis natalem reponebatur. a Iuliano autem, quod insculptam crucem haberet, in eam fossam proiecta et terra obruta est, in quam plurima quoque alia spectacula.

Spectaculum tertium
de iis quae in foro exstant.

Balmasa centurio, idolorum studiosissimus, horologii in foro stantis involucrum spectandi causa, ut aiebat, confregit; ut autem vero similius erat, furandi causa id egit: Minervae quippe signum argenteum furatus est, Asclepiodori quoque marsupia trium librarum reperta sunt, item corona Cleopatrae ex smaragdis colore alabastrino. re cognita imperator Constantinus centurionem morte damnavit. etsi autem impudenter negaret ac deos obtestaretur, capite truncatus est in uno e gradibus ipsius fori, ubi olim epulae ac prandia fiebant. scelus vero in altero fornice perpetratum non tacebimus. Maxentii moechi simulacrum divinis honoribus illic colebatur; et quod multi idololatrarum ignorabant, deus eques adorabatur. quapropter Constantinus simulacrum evertit, ac eos qui id temere ausi essent capite multavit. ubi etiam Arius postea foeda morte periit; qui cum blasphema dicta Graecanicis peiora

μετὰ λιτῆς καὶ τιμῆς τὸν θρόνον Κωνσταντινουπόλεως τῇ βασι-
C λικῇ χειρὶ καθαρπάσαι βουλόμενος. ἀλλ' οὐκ Ἀλέξανδρος ὁ
πολὺς ἐν θεογνωσίᾳ τοῦτο παρεσ... ἕως τῷ ὀλεθρίῳ θανάτῳ
τοῦτον παρέδωκεν. ἐν αὐτῷ τῷ τόπῳ, ἀπὸ τῆς καμάρας ἕως
κθ' παλαιστὰς ἔχοντι, ἐπὶ θεοφιλοῦς Θεοδοσίου ἀπετυπώθη
Ἄρειος ἐν μαρμάρῳ συνγειτνιῶντι τῇ γῇ, καὶ σὺν αὐτῷ Σαβέλ-
λιος Μακεδόνιος Εὐνόμιος, πρὸς αἰσχύνην τοῖς διερχομένοις σφε-
τερίζειν τούτους, καὶ κόπρῳ καὶ οὔρῳ καὶ ἐμπτύσματι καὶ ἀτι-
μίαις ὀνειδίζεσθαι τοὺς τὸν υἱὸν ἀτιμήσαντας. ἅ τινα καὶ
D καθορῶνται σῶα ἕως τῆς σήμερον τοῖς τὰ γεγραμμένα παρ'
ἡμῶν μετὰ φιλοσοφίας καὶ πόνου διερευνῶσι.

Θέαμα δ'
τὸ ἐν τοῖς Ἀρτοπωλίοις πόροις ὑπάρχον.

E Κυνάριον ἀπὸ μαρμάρου, οὔθατα πλεῖστα ἐν τῇ νεμήσει
περιφέρον, ὡς οἴκοθεν μυρμηκιὰ λατρεύειν ἐπεχείρουν, τοῖς θεω-
ρεῖν κατὰ πᾶν ἐθέλουσι, τοῖς πᾶσι προύκειτο· ταοῦ δὲ καὶ ἀετοῦ
καὶ λεαίνας λαγωοῦ τε καὶ κριῶν κάραι, καὶ στρουθῶν καὶ κορω-
νῶν καὶ τρυγόνος, μυὸς καὶ γαλῆς καὶ δαμάλεων, ἐμαοῦσαι καὶ
Γοργονίδες, δύο ἀμφότεραι ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, ἡ μία
τῇ ἑτέρᾳ κατ' ὄψιν βλέπουσα, ἀπὸ μαρμάρων, ἀναγεγλυμμέναι,
τὰ φυραθέντα κάτω τῶν αὐτῶν πόρων ἤτοι Ἀρτοπωλίων, θέας
F τοὔνεκεν Κωνσταντίνου δρᾶμα. ἀλλὰ γὰρ καὶ Βούλγαρος ὑπὲρ

miser pronuntiasset, cum comitatu et pompa Cpolitanum thronum, imperatoria manu stipatus, raptum procederet. verum Alexander, vir divina scientia praeditus, non prius cessavit quam illum funestae morti tradidit. eodem loco, qui a fornice viginti novem palmos habet, sub religioso imperatore Theodosio Arius marmorea statua effictus est, quae solo tantillum sublimior erat, ac cum illo Sabellius Macedonius Eunomius, ut eos qui praeterirent tales sibi magistros adscribere puderet; utque ii qui filio honorem detraxerant, stercore urina sputo et ludibriis deturparentur. quae hactenus integra conspiciuntur ab iis qui scripta nostra philosophice et studiose scrutantur.

Spectaculum quartum
de iis quae in Artopoliis exstant.

Catellam marmoream, multis mammis distribuendis muneribus praeditam, confertim animantes adorare tentabant; quod iis qui considerare vellent erat expositum, pavonis scilicet, aquilae, leaenae, leporis arietumque capita, passerum item, cornicum, turturis, muris et felis; itemque buculae mugientes, Gorgones duae a dextris et sinistris, obversa mutuo facie, ex marmore sculptae. quae in Artopoliis sculpta a Constantino ad spectaculum facta sunt. sed etiam bulgarus mundus

βοὸς καθαρὸς ὑπάρχων, ὡς τῇ γῇ διορύττειν ἐθέλειν τοῖς ὁρῶσι θέαμά τι μέγιστον. διέκειτο δὲ τοῦτο ἕως τῶν πολλῶν, καὶ μέχρι Ζήνωνος ἀρκέσαι τὴν ἱστορίαν. Γαληνὸς δέ τις ἰατρὸς καὶ φιλόσοφος ὑπάρχων, ὡς αὐτὸς ἐδίδαξεν, ἀπὸ χρονογράφων περαιωθεὶς, ἐβεβαιώθη τὰς Γοργονίδας τὰς μαρμαρίνους, ἅτε P 93 *τὴν μίαν ἐκ δεξιῶν, ἅτε δὲ τὴν ἐξ εὐωνύμων, ἱερογλυφικά τινα καὶ ἀστρονομικὰ ἐχίδνια συλλαβούσας τῶν βασιλέων γράφειν τὰς ἱστορίας, Κωνσταντίνου τοῦ μεγάλου τοῦτο ποιήσαντος. τοῦ δὲ αὐτοῦ Γαληνοῦ ἐπὶ πλεῖστον συχνάσαντος καὶ τοῖς ἀναγνώσμασιν τούτου προσέχοντος, τὰ μέλλοντα συμβαίνειν Ζήνωνι παρὰ Βηρίνης ἐγέλασε. Καλλίστρατος δέ τις, συρφετὸς μὲν τῷ γένει κάπηλος δὲ τῇ ἀξίᾳ, ἐμβατεύοντι τῇ ἱστορίᾳ τῶν Γοργονίδων Γα-* B *ληνῷ καὶ μάλιστα συχνῶς προσέχων, μετὰ τὴν ἀνάκαμψιν Ζήνωνος τὴν ἀπὸ Ἰσαυρίας τὸ δεύτερον φατειασθεὶς ὁ αὐτὸς Γαληνὸς παρὰ τοῦ αὐτοῦ Καλλιστράτου τοσούτους ἐμπαιγμοὺς ἐπ' ἐνιαυτοῦ καὶ βολίδας ὑπέμεινεν, ὥστε μέχρι τέλους τὸ πέρας ἐν τῇ αὐτῇ Ἀρτοπωλίων καλενδίᾳ, ἐν αὐτοῖς τοῖς ζωδιακοῖς τετραπόδοις καὶ πετεινοῖς, Σελεντίου ὑπ' ἄρχοντος ξίφει ἀποκεφαλισθῆναι, κράξαντος τοῦ Πρασίνου μέρους καὶ τοῦ ὄχλου "δικαία ἡ κρίσις." Ἀριστείδης δὲ φιλόσοφος ἐπέθηκεν ὄνομα τῷ τόπῳ* C *τοιῷδε, ὃ καὶ φαίνεται ἕως τῆς σήμερον, "Γαληνοῦ θηρία, ἀδικία νεμομένη Ζήνωνι·" καὶ τυπώσας τὴν γραφίδα ἀπέδρα ἐν Χερσῶνι, καὶ ἐσώθη ἕως τῆς σήμερον.*

7 *συλλαβῶν* alii.

bovi insidens, qui quasi spectaculum videntibus maximum humo defodi voluerit. haec multis temporibus constitere, et usque ad Zenonem oculis contemplari licebat. Galenus vero quispiam medicus et philosophus, ut ipse docuit ex chronographis mutuatus, asseverabat Gorgones marmoreas, quarum alia a dextris, a sinistris alia erat, hieroglyphicas quasdam et astronomicas viperulas continentes, imperatorum historias complecti, magno Constantino eius rei auctore. cum vero idem Galenus eo crebrius ventitaret et lectioni attenderet, de iis quae a Verina Zenoni eventura erant in risum effusus est. Callistratus vero quidam ex infima plebe caupo Galenum Gorgonas saepius adeuntem easque assidue considerantem apud imperatorem Zenonem ex Isauria secundo reversum accusavit; qui Galenus multa ludibria et plagas per annum sustinuit, donec tandem in ipsa Artopoliorum calendia et ad ipsam quadrupedum animalium atque volucrum statuam a Silentii praefecto capite plecteretur, clamante Prasina factione ac plebis promiscua turba "iustum iudicium." Aristides vero philosophus eiusmodi nomen loco imposuit, hodieque manet, "Galeni bestiae, Zenoni iniquitas attributa." scriptaque lamina in Chersonem aufugit, hactenusque incolumis est.

Θέαμα ε΄

τὸ ἐν τοῖς Ἀμαστριανοῦ Καρακάλλου πραιποσίτου.

D Θεαμάτιον ἤτοι εἰδώλιον τῆς Βυζαντίου πόλεως προτερεῦον
ἀπὸ Τραϊανοῦ, Μεκᾶς καὶ Γλαῦκος. ἐξ ὧν Θεόδωρος χρονο-
γράφος ἀναρρωσθεὶς ἀναγνώσμασιν. Ζεύς, Ἥλιος ἐν αὐτῷ τῷ
τόπῳ ἐν ἅρματι μαρμαρευθέτῳ. Διὸς σκυταλίδης Ἀριστείδης·
Ἡρακλῆς, ὁ ἀνακείμενος ἡνίοχος, θεὸν ἐπιγράφων, Ἀπόλλων
παγκρατιαστής. ἔνθα ὁ ποταμὸς ὁ Κύτλου, Ἀέτιος ὁ ἀπὸ Λύ-
E κου μυκολατρευόμενος. ἐν αὐτῷ χελῶναι μεσταὶ ὀρνίθων· ἐν
αὐταῖς δράκαιναι ιη΄, καὶ Ἀκούντιος φιλόσοφος εἰδώλων πρωτο-
στάτης καὶ θύτης γυναικὸς καὶ δύο τέκνων, μητρὸς Ἀγλαΐδης
καὶ ἀδελφῆς Γραφεντίας. ἐν αὐτῷ τῷ τόπῳ δαιμόνων ἐπιστα-
σίαι καὶ πτώσεις, ἅτε βασιλέων, τοῖς φιλοσοφοῦσι· μάλιστα,
ἐὰν πόρνοι εἶεν τῇ γλώττῃ ἢ τῇ σπορᾷ, οἱ βασιλεῖς ὀλέθριοι.
διὰ τοῦτο τῷ γυμνῷ προσεχέτωσαν ζωδίῳ, καὶ σιδηρέαν βοτάνην
F σὺν κοχλίδι περιζέσαντες καὶ τοῖς μυκτῆρσιν ὀπτήσαντες, γαλου-
χεῖται τοῖς φίλοις τοῦ ἄνακτος· καὶ ἣν γνωστὰ ἐκ τούτων ἴσως
θέλεται, εἰς αὐτοὺς γενέσθαι ἡμῖν. πολὺς δὲ ἄργυρος καὶ μά-
λιστα δηναρίων κατέχωσται κάτωθεν, ἅτε δὴ καὶ θησαυρὸς χρυ-
σίου, ὅτι θέατρον ὑπάρχων, καὶ τοῖς πολλοῖς βλέπειν ἐν ἡμέρᾳ

7 μαρμαρείῳ ἐτέθη Lamb.

Spectaculum quintum

ad Amastriani Caracallae praepositi.

Quod a Traiano spectaculum seu idolum Byzantinae urbis primum occurrit Mecas et Glaucus; ex quibus Theodorus chronographus lectionibus clarus. Iupiter; Sol eodem in loco, marmoreo curru invectus. Iovis scuticam ferens Aristides. Hercules, auriga recumbens, hoc deum titulo donans, "Apollo pancratiastes." ubi Cytli fluvius; Aëtius, a Lyco impuro cultore adoratus. in eo testudines plenae avibus, et dracones octodecim, Acuntius item philosophus, idolorum antistes, uxoris immolator ac duorum liberorum, matris Aglaidis et sororis Graphentiae. eodem in loco daemonum [quippe regum] visiones afflatusque philosophis obtingunt; maxime si lingua semineve adulteris reges fuerint exitiosi. idcirco ad nudam oculos coniicientes statuam, sideritimque herbam cochleari concalefacientes atque naribus adurentes, regis amicos lactari; ac si forte ex his innotescere velit, divinum eos responsum accipere. ingens pecuniae vis, praesertim denariorum humo defossa, quin et auri thesaurus, quod cum theatrum esset die Iovis, po-

Διὸς θυσίας καὶ θαυμάζουσιν· σεισμοῦ δὲ γενομένου ἀποθανεῖν ἐν αὐτῷ τῷ πέλματι, ὡς ἐπὶ Βύζᾳ καὶ Ἄντῃ, πρὶν Κωνσταντῖνος P 94 τῇ πόλει, ἀλλὰ τῇ Ῥώμῃ, θεὸν γινώσκων ἐφαίνετο. οἱ δὲ ἵπποι καὶ αἱ κιννύρες Γαληνδουχίου τοῦ δουκός. ἅ τινα καθορῶνται ἐν τῷ πυρὶ Ἀρτεμισίῳ ἕως τῆς δεῦρο. ὅθεν, φιλόκαλε, πολλοὺς κόπους διὰ τὴν σὴν ἀρετὴν ὑπομείναντες, οὐδὲν ἠγανακτήσαμεν.

Θέαμα ς'
τοῦ βοός.

Τὸ δὲ ἐν τῷ βοῒ θέαμα τρανῶς σοι ὑποδείξομεν, ὅπερ B πλειστάκις δι' ἐπιστολῶν ἡμῖν ἐσήμανας δῆλόν σοι γενέσθαι, ὦ φιλόκαλε. Βαλεντινιανοῦ τοῦ πραιποσίτου Κώνσταντος ἐν τῷ ἱπποδρομίῳ οἰκοδομηθῆναι γινώσκομεν. κάμινος δὲ παμμεγέθης μεγάλη ἕως ἡμῶν διασωθεῖσα, ἔνθα Ἰουλιανὸς ὁ θεοστυγὴς προφάσει τῶν καταδίκων πολλοὺς ἐν αὐτῇ Χριστιανοὺς κατέκαυσε. ἦν δὲ ἡ κάμινος φέρουσα βοὸς χαλκοῦ παμμεγεθεστάτου θέαμά τι, C οὗπερ κατὰ μίμησιν ἐν τῷ Νεωρισίῳ λιμένι κατετυπώθη. τῷ δὲ αὐτῷ βοῒ τῷ χαλκῷ ἕνεκεν καύσεως παρηκολούθησέ τι μωμὸν ἕως Φωκᾶ τοῦ ἀναξίου. καὶ μετὰ τὸ καυθῆναι τὸν αὐτὸν Φωκᾶν, ὑπὸ Ἡρακλείου χωνευθῆναι τὸν βοῦν εἰς ἀκουλκαταμίον, καὶ εἰς τὸν Πόντον περάσαι ἕνεκεν στρατολογίας. ἦν δὲ τὸ

pulus conferta multitudine spectaculi admiratione defixus, terrae motu, circa tempus Byzae et Antis, in ipsa cavea absorptus sit. contigit vero cum necdum Constantinus dei cultor urbi innotuisset, sed Romae. equi autem et aviculae Galinduchii ducis sunt, quae ad Artemisii ignem hodieque conspiciuntur. idcirco, quanquam multis laboribus tuae virtutis causa, vir probe, perfuncti, nihil tamen indigne tulimus.

Spectaculum sextum
de foro bovis.

Spectaculum quod in foro bovis positum erat, clare tibi describemus, quando id saepe saepius, vir studiose, missis ad nos litteris efflagitasti. novimus sane Valentinianum, Constantis imperatoris sacri cubiculi praepositum, in Hippodromo illud aedificasse. fuit vero fornax ingens et ad nostra usque tempora duravit. ibi deo perosus ille Iulianus multos Christianos quasi maleficos combussit. erat autem caminus bovis aenei immanis staturae figuram referens, cui similis in Neorio portu postea confectus est. huic autem deinde bovi aeneo ad nequissimum usque Phocam quaedam infamia inhaesit, eo nomine quod exurendis reis usurparetur. postquam vero ab Heraclio ipse Phocas exustus est, bos in Aculcati aerarium conflatus est, atque ad conscribendum militem in Pontum missus. erat autem in Ponto, quod Aculcatum vo-

D ἀκουλκάτον ἐν τῷ Πόντῳ, σταθμῶν τοῦ ἀργυρίου κδʹ. διὰ τὸ εἶναι αὐτὸ χρυσεγχυτόν. ὅπερ καὶ ἐνταῦθα σώζεται ἕως τῆς σήμερον τοῖς ὁρῶσιν, εἰς λεχμία χωνευτὰ σκυθρωπὰ πάνυ.

Ζ. Ἐκ τοῦ μιλίου θεάματος τοῦ ὀφφικίου Διοσκόρου, ἐκ τῶν καθ' ὥραν Μαυρικίου Αὐγούστου.

E Ὅτι τὸ Σινάτον τὸ λεγόμενον τοῦ φόρου οὐδὲν ἄλλο ἐτυμολογεῖται ἢ μόνον Σινάτου οἰκοδομήσαντος τὸν Σινᾶτον καὶ τὸ ἐν αὐτῷ τρίλιθον ζώδιον ἤτοι τρικέφαλον πορφυροειδές, ὃ ἔλεγόν τινες Κωνσταντῖνον τὸν μέγαν μέσον, Κωνστάντιον εὐώνυμον, Κώνσταν ἐν τοῖς δεξιοῖς μέρεσιν, εἰς πόδας ἀρκούμενον δύο, εἰς F δὲ χεῖρας ἕξ, ξένον τοῖς ὁρῶσι θέαμα, ἄλλον ἀλλοχόθεν ὁρῶν, καὶ ἡ κεφαλὴ μία. ἐμπυρισμοῦ ἐν αὐτῷ δή ποτε γενομένου ἐν αὐτῷ τῷ τόπῳ, καὶ πάντων ἐκεῖσε ἀσχολουμένων, ὡς εἰπεῖν, κλαπῆναι τὸ θαυμάσιον ἐκεῖνο, ἐπὶ Θεοδοσίου τοῦ μικροῦ τοῦ Ἀρκαδίου, ὃς εὐθὺς διὰ ταχυδρόμου ἐν τοῖς διαστάτοις καὶ ἐν τοῖς θαλαττίοις μέρεσι μετὰ ἀπειλῆς, εἰ μὴ φάνειεν τὸ θέαμα. καὶ οἱ τοῦτο τολμήσαντες οὐκ ἰσχύσαντες εἰς τὴν ἰδίαν πατρίδα P 95 ἀπενεγκεῖν, φθαζόμενοι δὲ τῷ δρόμῳ τῷ βασιλικῷ, ἀποποιησάμενοι ἑαυτούς, τό τε θέαμα καὶ ἑαυτοὺς ἐν τῷ βυθῷ ῥίψαντες

4 μιλίου] βιβλίου Lamb. 17 φανείη?

cant, argenti pondo quattuor supra viginti, eo quod ipsum esset auro solidum. quod hic quoque hodieque servatur ac cernitur, in fusis lechmiis tetricum valde vultum praeferentibus.

VII. *Ex miliario spectaculi officii Dioscori, ex Mauricii Augusti diario.*

Quod vocant fori Senatum, a nullo alio tale nomen obtinuit quam quod Senatus a Senato aedificatus sit, necnon illud trium lapidum opus, id est triceps porphyreticum simulacrum, quod quidam in medio Constantinum magnum, a sinistris Constantium, a dextris Constantem repraesentare dicebant. erat illud duobus fultum pedibus, sexque manibus instructum. spectaculum plane novum et insolens, alium aliunde conspiciens: nam unum caput erat. incendio autem ibidem grassante, cum omnes una eniterentur ut mirum illud signum suffurarentur, Theodosio iuniore Arcadii filio imperante, is statim misso cursore in loca remota et ad maris oras iis qui sustulerant interminatus est, ni repraesentarent. qui vero auferre ausi fuerant, cum non possent in patriam illud reducere, occupante imperatorio cursore, desperatione ducti sese cum si-

*κατεποντίσθησαν· ὡς πολλῶν πλοίων καὶ σαργάνων ἐλθόντων
καὶ κολυμβητῶν τινῶν, διὰ τὸ ἀδημονεῖν τὸν βασιλέα, δῶρά τε
εἰς πλῆθος ταττομένου, καὶ ὡς φ' κεντηναρίων μεθ' ὅρκων
φρικτῶν βεβαιουμένου τοῖς μέλλουσιν αὐτὸ ἐκβάλαι ἐκ τῆς θα-
λάσσης, οὐκ ἴσχυσέ τις. τότε ὀργισθεὶς ὁ αὐτὸς Θεοδόσιος καὶ
τὸν Σινάτου οἶκον τῷ πυρὶ παραδέδωκεν, ὑπὸ τεσσάρων κιόνων* B
*βασταζόμενον. καὶ μετέθηκεν τὴν στήλην Ἑλένης μητρὸς Κων-
σταντίνου, καὶ αὐτοῦ, καὶ τῆς γυναικὸς αὐτοῦ Φαύστης, θυγα-
τρός [Μαξιμιανοῦ τοῦ Ἑρκουλίου, γαμβροῦ] Διοκλητιανοῦ, ἐν
τῷ αὐτῷ Σινάτῳ, αὐτοῦ μὲν καὶ τῆς γαμετῆς χαλκενχύτων καὶ
μέρος λιθενδύτων, αὐτῆς δὲ ἐκ πορφυροῦ μαρμάρου περιέχουσα·
ἅ τινα καὶ σώζονται ἕως τῆς δεῦρο.*

ΠΑΠΙΑ.

Ἐν τῷ λεγομένῳ Στατῆρι, ὅπερ λέγεται Μόλιον ἀλωπὸν C
*εἶναι ἐκ μαρμάρου πηγανουσίου εἰς μῆκος ὀργυίας ε', πλάτος δὲ
ὀργυίας δύο ἥμισυ, πρὸς νότον ἐν τοῖς ἀνακτορικοῖς οἴκοις, πρὸς
δὲ βορρᾶν πρὸς τὸν παλαιὸν ναόν, ὅπερ ἐν τῷ στήθει ἔγραφεν,
δι' ἐμπλαστῶν χρυσέων καὶ ἀργυρέων γραμμάτων, Ἀφροδίτη
Σελήνη, ἐδόθη Πέρσαις εἰς πάκτον ἐπὶ Ἀναστασίου βασιλέως* D
*ἀντὶ σταθμῶν χιλίων χρυσοῦ. καὶ τοῦτο δὲ ὁ αὐτὸς Παπίας
ἐδίδαξεν ἐκ τῶν αὐτοῦ συγγραμμάτων, ὅτι αἱ γοργονοειδεῖς κε-*

13 Papiae historici meminit Nicephorus Callistus 1 1. *Lamb.*

mulacro in mare praecipitarunt, ita ut multis adductis naviculis et funibus urinatoribusque, quod id imperator molestissime ferret, multisque donis propositis usque ad quinquaginta centenaria horrendis cum iuramentis promissa si quis ex mari extrahere posset, nemo id praestare potuerit. quamobrem ardens ira Theodosius quattuor columnis fultam Senatus aedem flammis dedit; atque Helenae matris Constantini, ipsius item Constantini, et uxoris illius Faustae, Maximiani Herculii, Diocletiani generi, filiae, statuas in eundem Senatum transtulit, ipsius quidem et uxoris statuas ex aere fusas partimque lapillis ornatas; illius autem ex marmore porphyretico; quae hodieque supersunt.

EX PAPIA.

In loco quem Staterem vocant, quam Molium vulpinam appellant, ex marmore Peganusio ulnarum quinque longitudinis duarumque cum dimidio latitudinis, ad austrum in Palatii aedibus, ad aquilonem vero veteris ecclesiae respectu, in cuius pectore haec inscriptio aureis et argenteis insertis litteris legitur, "Venus Luna," Anastasio imperatore Persis pro pacta pecunia data est, pro mille auri librarum pondere. quod ipsum suis in scriptis Papias docuit. Gorgonum capita in Chalces

*φαλαὶ ἐν τῇ χαλκῇ πύλῃ, πρὸς μὲν τὸ πρόσθεν περιπατοῦντι
εὐωνύμως, πρὸς δὲ τὸ ὄπισθεν δεξιῶς, τῆς Ἀρτεμίδος θεᾶς,
ἐκ τοῦ ναοῦ τοῦ Ἐφεσίου ἥκασι· τὰς μὲν τέσσαρας ἐν τοῖς Ταύ-
ρου μέρεσιν, ἐν τοῖς παλαιοῖς παλατίοις προσπηχθέντα Κωνσταν-
τίνου, ἔνθα καὶ Ἰουλιανοῦ καὶ τῆς τούτου γαμετῆς, ἀλλὰ καὶ*
E *Κωνσταντίνου τοῦ μεγάλου καὶ τῶν υἱῶν αὐτοῦ καὶ Γάλλου
καθορῶνται ἀγάλματα· τὰς δὲ τέσσαρας ἐν τῆς προειρημένης
πύλης εὐωνύμῳ μέρει, ἔνθα καὶ σταυρὸς πεπηγὼς ἐπὶ Ἰουστι-
νιανοῦ τοῦ πάλαι καὶ Βελισαρίου, καινουργηθεῖσαι ἵστανται.
ἐν ᾗ καὶ αὐτὸς Βελισάριος καθορᾶται χρυσέμβαφος, ἡλιοκέ-
φαλος, καὶ Τιβέριος ὁ κυρτοειδὴς Θρᾴξ, καὶ Ἰουστῖνος ὁ πρῶ-
τος λεπτοειδὴς ἐπίφορος κατ' ἰδέαν πάνυ, καὶ τῶν συγγενῶν*
F *ἑπτά, αἱ μὲν ἐκ μαρμάρου αἱ δὲ καὶ χαλκαῖ, ἐκ τῶν ζωσμάτων
ἐπιγινωσκόμεναι ἀκριβῶς τοῖς παροῦσι.*

*Πολλὰ τῇ βασιλίδι Πουλχερίᾳ Λέων ὁ μέγας ἐμακάριζεν·
ὅθεν καὶ μνήμην αὐτῆς τῆς τελειώσεως ἐπετέλει, καὶ ἐν τῷ τάφῳ*
P 96 *αὐτῆς αὐτὸς ἱστόρησε τὸ ταύτης ἴνδαλμα. καὶ ἐν τοῖς βασιλείοις
δὲ θεωρῶν αὐτὴν ἐν ἱστορίᾳ, τὸν βίον ὅλον αὐτῆς ἐμακάριζεν.
Μαρκιανοῦ δὲ στήλην καὶ Πουλχερίας ὁ αὐτὸς Λέων ἐν τοῖς
Θεοδοσιανοῦ ἐμβόλοις μεταστήσας τῇ βασιλίδι πόλει προσέθηκεν.*

Ἰουλιανοῦ χαραγὰς Θεοδόσιος ὁ μέγας ἠμαύρωσε. μεθ'
B *ὧν καὶ τὴν τούτου στήλην ἔξω τῆς χαραγῆς ἑστηκυῖαν θεασά-
μενος ἠρυθρίασε, καὶ τοῖς συνοδεύουσιν ἐπύθετο, τίνος ἂν εἴη*

porta a sinistris quidem ante, a dextris vero retro Dianam deam ambulanti, ab Ephesino templo advecta sunt, quattuor quidem in Tauri partibus in Palatio veteri Constantini affixa, ubi etiam Iuliani eiusque coniugis, Constantini quoque magni et filiorum eius necnon Galli statuae conspiciuntur; quattuor autem in memoratae portae laevo latere, ubi etiam crux defixa sub Iustiniano olim et Belisario restaurata consistunt. ibi quoque ipse Belisarius conspicitur deauratus, capite solaribus radiis micante, et Tiberius gibbosus Thrax, Iustinus senior exigua statura, vultu admodum concitato; itemque ex cognatis septem statuae, partim marmoreae partim aeneae, quae ex cingulis facile est adstantibus cognoscere.

Leo magnus beatissimam Pulcheriam Augustam multum celebrare solebat; unde etiam eius consummationis sive exitus memoriam venerabatur, eiusque imaginem sepulcro ipsius apposuit, atque in aedibus imperatoriis eius depictam effigiem contemplans totam vitam eius depraedicabat. Marciani vero et Pulcheriae statuas idem Leo in Theodosianos embolos translatas imperatoriae urbi adiecit.

Iuliani monetam Theodosius magnus abrogavit; ac postea eius statuam extra monetariam officinam stantem conspicatus erubuit, exque comitibus cuius esset figura sciscitatus est, illis autem respondentibus

τὸ χάραγμα. τῶν δὲ Ἰουλιανοῦ φησάντων, εὐθὺς ἐκεῖνος εἶπεν ὅτι μέλανος ἀνθρώπου στήλην τεθέαμαι. καὶ πάνυ ἠρυθρίασε, καὶ παραυτίκα ταύτην κατέαξεν, καὶ δόγμα προέθηκεν, ὅτι ὅπου ἐὰν εὑρεθῇ ἐν χαραγαῖς νουμίων τὸ τοιοῦτον ὑπόδειγμα, καὶ μὴ τῷ δημοσίῳ καταμηνυθῇ, δημευθεὶς ὁ τοιοῦτος ἐξόριστος Κωνσταντινουπόλεως γένηται.

Πολὺς ἦν Ἰουλιανὸς ἐν μαγγανίαις· ὅθεν καὶ τοῖς εἰδώλοις C εἰς στήλας βασιλικάς, φασίν, ἐξεικόνιζε, καὶ προσκυνεῖσθαι ταύτας ὡς βασιλέων εἰκόνας ἠνάγκαζε. μεθ' ὧν καὶ ἐν τῇ Νικομηδέων μητροπόλει τὸ τοῦ Ἀπόλλωνος ἄγαλμα χρυσέγκαυστον κατασκευάσας καὶ τῆς θεᾶς Ἀρτέμιδος, νόμοις ὁμοίοις ἐνομοθέτει προσκυνεῖσθαι, ὡς αὐτοῦ φησὶν εἶναι καὶ τῆς γαμετῆς ἰνδάλματα· ὅθεν καὶ ἄπειρον πλῆθος κλαπὲν εἰς εἰδωλολατρείαν κατέ- D πεσεν.

Ἐν τοῖς Πανεάδος μέρεσι τῇ ἐπονομαζομένῃ Καισαρείᾳ τῇ Φιλίππου, διερχομένου Ἰουλιανοῦ, τὸ τῆς αἱμορροούσης ἴνδαλμα θεασάμενος, καὶ αὐτοῦ τοῦ Ἰησοῦ τὸν ἀνδριάντα, ὡς ἔλεγον, ὑπ' αὐτῆς κατασκευασθέντα· ἐν οἷς κεκυφυῖα ἡ γυνή, καὶ τῇ δεξιᾷ τοῦ κρασπέδου τοῦ ἀνδριάντος Ἰησοῦ ἁπτομένη. μέσον που βοτάνης εἶδος, ἀλεξητήριον φάρμακον πρὸς πᾶσαν νόσον E ἐπιτήδειον, ἐκφυέν, καὶ τυφλούς, ὥς φασι, τοὺς ἐκ κοιλίας μητρὸς ἐξελθόντας ἰάσασθαι. τοῦτο δὲ καὶ Εὐσέβιος ὁ Παμ-

2 *μέλας* hic idem est atque *κακός*. sic inter Latinos Horatius eo vocabulo utitur: *hic niger est; hunc tu, Romane, caveto.* similiter hodieque Itali hominem improbum vocant *furbum*, quasi *furvum* i. e. nigrum. *Lamb.*

Iuliani esse, statim ille "nigri hominis" ait "statuam conspexi;" multumque rubore suffusus eam statim confregit, edictoque iussit "si quis usquam huiusmodi figurae obsignatos nummos repererit, nec publice denuntiaverit, is proscriptis bonis, extra Cpolim exsulatum mittatur."

Multum Iulianus praestigiis deditus erat; unde aiunt idolorum statuas imperatorum specie effingere solitum, ipsas velut imperatorum adorare coegisse. inter haec vero Apollinis statuam inauratam Nicomediae, quae metropolis est, ac similiter Dianae deae fabricatus, lata lege adorari sanxit quasi suam et coniugis effigiem; quae causa fuit ut innumera multitudo vel inscia in idololatriam laberetur.

In Paneadis, quam Caesaream Philippi vocant, partibus, cum Iulianus iter haberet, haemorroïssae et ipsius Iesu statuam, quam, ut fertur, illa posuerat, conspicatus est. erat vero mulier venerantis more inclinata, fimbriamque statuae Iesu dextera contingebat. in medio autem herbae species quaedam curandis quibuscunque morbis apta nascebatur, tantae virtutis, ut aiebant, ut etiam caecis ab utero visum tribueret. quam rem Eusebius Pamphili, et qui haesitantium sectae est,

φίλου καὶ ὁ διακρινόμενος ἀκριβέστερον μέμνηται. ταῦτα Ἰουλιανὸς θεασάμενος ἐπύθετο τὸ μυστήριον, καὶ μαθὼν Ἰησοῦ εἶναι τὸν ἀνδριάντα κατέκλασεν. ὡσαύτως δὲ καὶ τῆς Βερονίκης, ὡς ὁ διακρινόμενος μέμνηται καλεῖσθαι τὴν αἱμορροοῦσαν. καὶ τὸ φυτὸν δὲ κατέκαυσε, καὶ Διὸς εἴδωλον καὶ Ἀφροδίτης ἐν τῷ τόπῳ ἀνατεθεικὼς καὶ ἑαυτοῦ· ἐν οἷς καὶ ναὸν οἰκοδομήσας ἐπέ- P 97 *γραψε "τάδε θεῷ Διῒ παντεπόπτῃ Ἰουλιανὸς Πανεάδι εἰς δῶρον ἄγει·" ἔνθα καὶ Μαρτύριος ἐπίσκοπος πολλὰ ἐξουθενήσας αὐτὸν ἐκάη πλησίον τοῦ ναοῦ, ὡς ἔλεγον, εἰς θυσίαν θεοῖς.*

Ἰουλιανοῦ βασιλεύοντος, πρὶν ἢ τὴν Ῥώμην καταλαβεῖν, B *στήλην ἐν Βυζαντίῳ τούτου ἀνέστησαν ἐν τοῖς Κωνσταντινιανοῦ ἐμβόλοις. καὶ ὁ στρατηλάτης δὲ Δημόφιλος, χαίρων τῇ τῶν εἰδώλων θρησκείᾳ, ἐν πορφυρῷ κίονι ταύτην ἀνέθηκε, "μέγας θεοσεβὴς ὑπάρχων Ἰουλιανός." διὰ τοῦτο, ἢ μόνον ἐβασίλευσεν, καὶ ἐν Ῥώμῃ καὶ ἐν Ἀντιοχείᾳ εἰκόνας αὐτῷ ἔν τε σανίσι καὶ χαλκουργήμασι μεγίστοις ἀνέθετο.*

C *Γρατιανὸς μετὰ τὸ γῆμαι ἐν Ῥώμῃ παρεγένετο, καὶ ἑαυτὸν καὶ τὴν γαμετὴν ἐν ἀργυραῖς στήλαις εἰς ἄλλο θέαμα τῇ Ῥώμῃ προέθηκεν.*

Οὐαλεντινιανοῦ τοῦ νεωτέρου ἐν τοῖς Λεοντίου ἐμβόλοις ὑπῆρχε στήλη θαυμάσιος, ἔνθα Ζήνων τὰς ἐποψίας ἐποιεῖτο. Ζήνων Οὐαλεντινιανοῦ τὴν στήλην θεασάμενος, ἀτυχεῖν ἔφησε D *τοὺς μὴ εἰκόσιν εἰς μνήμην καθορᾶσθαι Καίσαρας.*

diligentius memorat. haec ut vidit Iulianus mysterium sciscitatur, utque didicit esse Iesu statuam, confregit illam; similiter Veronicae (haemorroïssam sic vocatam prodit idem haesitans): plantam autem illam igni tradidit, erectoque ibidem Iovis et Veneris simulacro, necnon sui ipsius, templum etiam cum hac inscriptione excitavit "haec deo Iovi omnium inspectori Iulianus Paneadi dono dedit." ibi etiam Martyrius episcopus multa per contemptum in eum locutus, proxime templum flammis traditus atque, ut aiebant, diis immolatus est.

Iuliani imperatoris, antequam Romam occupasset, statuam Byzantii ad Constantini fori porticus collocarunt, quam Demophilus dux exercitus, idolorum cultus studiosissimus, columnae porphyreticae cum hoc titulo imposuit "magnus et religiosus Iulianus." ideo statim atque imperium Romae et Antiochiae adeptus est, in tabulis magnaeque molis aeneis operibus imagines eius collocabat.

Gratianus postquam uxorem duxerat Romam venit, ac sui uxorisque statuas argenteas ad aliud spectaculum Romae proposuit.

Mira Valentiniani iunioris statua in Leontii porticibus visebatur, quem locum invisens Zeno, Valentiniani statuam conspicatus, infelices, inquit, Caesares, quorum imagines ad memoriam non conspicerentur.

Ἐν τῷ Βοῒ τοῦ Κωνσταντίνου φωσάτον παρεσκευάσθη μέγιστον, καὶ πόλεμον αὐτῷ Βύζας παρετάξατο, καὶ ἀπέθανον Ἕλληνες, ὡς ὁ Σωκράτης φησίν, εἴκοσι χιλιάδες. παρευθὺ δὲ ἐν τῷ αὐτῷ Βοῒ σταυρὸς ἀργυρὸς κεχρυσωμένος ἐτυπώθη, καὶ Κωνσταντίνου καὶ Ἑλένης εἰκόνες, ἀμφοτέρων αἱ χεῖρες τὸν σταυρὸν κατέχουσαι, φησί, τῶν θεοδούλων. E

Ὅτι τὰ λεγόμενα Κοντάρια βίγλαν εἶχον ἕως ἔτη ζʹ. καὶ ἐν αὐτῷ τῷ τόπῳ πόλεμος ἕως ἔτη βʹ. καὶ ναὸς εἰδώλων μικρὸς πάνυ, ὃν ἔλεγον Γαληνοῦ εἶναι· ὃν καθελὼν Κωνσταντῖνος τῆς θεοτόκου οἶκον ἀνήγειρε, καὶ ἑαυτὸν ἐγχαράξας καὶ τὴν μη- F τέρα καὶ Ἰησοῦν καὶ τὴν παρθένον πανηγυρικὰς ἑορτὰς ἐπετέλει ἕως ἡμέρας ιβʹ.

Ἐν τοῖς Βιγλεντίου ὑπῆρχεν ἡ ὀχυρωτάτη βίγλη Κωνσταν- P 98 τίνου, ἣν πρὸ τῆς ὀπτασίας [τῆς τοῦ σταυροῦ ἐπὶ] τῆς πόλεως ἔστησεν· ἐκεῖ γάρ, ὡς ἔλεγον, καὶ τὸν σταυρὸν περὶ δειλινὸν ὀφθαλμοφανῶς ἐθεάσατο. ἐν αὐτῷ δὲ τῷ τόπῳ τοῖς Βιγλεντίου Σευῆρος Γάζους κατῴκισεν, οὓς καὶ πολεμήσας Μαξιμῖνος στρατηγὸς Κωνσταντίνου ὡσεὶ ὀκτὼ χιλιάδας ἀπέκτεινεν. καὶ τότε οἱ λοιποὶ καταβάντες τῶν ἵππων καὶ τὰ ξίφη κλάσαντες, τοῖς ποσὶ Μαξιμίνου ἐγκυλινδούμενοι, σωτηρίας τυχεῖν ἱκέτευον· καὶ τυχόντες ἐκ τῶν ἰδίων χαλκουργημάτων Κωνσταντίνῳ στήλην B ἀνέθεντο.

Ἐν τῷ φόρῳ μʹ ἡμέρας Κωνσταντῖνος ἐδοξάσθη καὶ εὐφη-

In Constantini Bove maximum commissum praelium est; aciem contra illum instruxit Byzas, ubi, narrante Socrate, Graecorum viginti milia ceciderunt. statimque in eodem ipso Bove crux argentea deaurata confecta est, necnon servorum dei Constantini et Helenae imagines, crucem manibus complectentes.

Contaria, ut vocant, excubias ad annos septem habuerunt, eodemque loco ad biennium bellum gestum fuit. erat idolorum delubrum exiguum, quod Gallieni esse dicebant. quo diruto Constantinus deiparae aedem excitavit, seseque cum matre Iesuque ac Virgine nummo insculpens festa publica diebus duodecim celebravit.

Ad Viglentia validissimae erant Constantini excubiae, quas ante crucis visionem in urbe habitam locavit: nam illic, ut fertur, etiam crucem ipsis oculis circa vesperam conspexit. eodem quoque loco ad Viglentia Severus Gazaeis sedes et domicilium praescripserat; in quos instructo bello Maximinus Constantini exercitus dux quasi octo milia eorum concidit. tum reliqui equis exsilientes, confractisque gladiis Maximini pedibus advoluti, vitam supplices deprecati nactique ex proprio armorum aere statuam Constantino posuere.

In foro Constantinus per quadraginta dies faustis plebis senatus-

μίσθη παρὰ τοῖς μέρεσι καὶ παρὰ τοῖς ἄρχουσι τῆς αὐτῆς πόλεως. Κανονάρις δὲ φιλόσοφος ἐν ὑψηλῷ τόπῳ ἀνελθὼν μετὰ τὸ παῦσαι τοὺς ὄχλους μεγάλῃ φωνῇ ἔκραξεν "ὑπὲρ προγόνων μὴ φρό- C νει ὁ τῶν προγόνων καθαιρέτης." ὃν ὁ Κωνσταντῖνος μετακαλεσάμενος συνεκρότει, καὶ παρεκάλει τοῦτον παύσασθαι ἑλληνίζειν. ὁ δὲ ἰσχυρᾷ τῇ βοῇ ὑπὲρ προγόνων καὶ ἀποθνήσκειν ἑλόμενος, ἐκαρατομήθη ἐν τοῖς αὐτοῖς Βιγλεντίου ἐμβόλοις, εἰς φόβον τῶν καταλειφθέντων Γάζων.

D Ἡ στήλη ἡ ἐν τῷ φόρῳ πολλὰς ὑμνῳδίας ἐδέξατο. ἐν αὐτῇ τὸ πολίτευμα, καὶ Ὀλβιανὸς ἔπαρχος, καὶ οἱ σπαθάριοι, οἱ κουδικέλιοι, καὶ μὴν καὶ σιλεντιάριοι μετὰ κηρῶν ὀψικεύσαντες, λευκὰς στολὰς ἀμφότεροι περιβεβλημένοι, ἀπὸ τοῦ καλουμένου ἀρτίως Φιλαδέλφιν, τότε δὲ Προτείχισμα καλούμενον, ἐν οἷς καὶ πόρτα ἦν τὸ πρότερον ὑπὸ Κάρου κατασκευασθεῖσα, ἀνήνεγκαν ἐποχουμένην εἰς καρούχαν. ὡς δὲ ὁ διακρινόμενός E φησιν, ὅτι ἐκ τῆς καλουμένης Μαγναύρας· ἐν οἷς ἐν τῷ φόρῳ τεθεῖσα, καὶ πολλάς, ὡς προείρηται, ὑμνῳδίας δεξαμένη, εἰς Τύχην τῆς πόλεως προσεκυνήθη παρὰ πάντων, ἐν οἷς καὶ τὰ ἐξέρκετα. ἔσχατον πάντων ὑψοῦτο ἐν τῷ κίονι, τοῦ ἱερέως μετὰ τῆς λιτῆς παρεστηκότος, καὶ τό "κύριε ἐλέησον" πάντων βοώντων ἐν ρ' μέτροις. πολλὰ οὖν ὁ διακρινόμενος ἄνωθεν τοῦ κίονος φάσκει πράγματα τεθῆναι, ἔνθα ἡ στήλη ἵσταται, ἐν οἷς καὶ χαραγὴ βασιλικὴ Κωνσταντίνου ἡ λεγομένη σωτηρίκιος, χίλια F κεντηνάρια. τότε εὐφημίσθη ἡ πόλις κληθεῖσα Κωνσταντινού-

que acclamationibus exceptus ac celebratus est. Canonaris autem philosophus editum in locum conscendens, cessante turba, alta voce clamavit "ne plus quam maiores sapias, qui maiores sustulisti." quem evocatum Constantinus lenibus hortabatur dictis ut paganismum profitendi finem faceret. ille vero dum edita voce clamat se pro maioribus mortem oppetiturum, capite caesus in iisdem ad Viglentia porticibus residuis Gazaeis timendi exemplo fuit.

Statua in foro posita multis cantibus exornata fuit. hanc populi coetus, Olbianusque praefectus, spatharii, codicillares ac silentiarii cum cereis comitantes, candido utrique amictu, a loco nunc Philadelphium, tunc autem Antemurale dicto, ubi etiam porta erat a Caro structa, curru vectam extulerunt: ut autem haesitans ille narrat, a Magnaura, ut vocant, ibidem in foro constituta laudibus canticisque multis, ut iam dictum est, exornata, ab omnibus ab ipsoque exercitu, tanquam Fortuna urbis adorata est. demum in columna erecta, adstante ac supplicante sacerdote, cunctisque "domine miserere" centies acclamantibus. ait porro haesitans multa super columnam, qua statua innitebatur, fuisse reposita; in iisque signatae Constantini monetae, quam sotericium vocant, mille centenaria. tunc multis acclamationibus Cpolis appellata fuit,

πολις, τῶν ἱερέων βοώντων "εἰς ἀπείρους αἰῶνας εὐόδωσον ταύτην, κύριε." καὶ οὕτω μετὰ πολλῆς δορυφορίας ἐμμέτρως μʹ ἡμέρας πανηγυρίσαντες, τοῦ βασιλέως σιτηρέσια πάμπολλα τοῖς ὄχλοις χαρισαμένου, ἀπῆλθεν ἕκαστος ἐν τῇ ἰδίᾳ οἰκίᾳ. καὶ οὕτως τῇ ἐπαύριον τὸ γενέθλιον τῆς πόλεως γέγονεν καὶ ἱπποδρό- P 99 μιον μέγα, πολλὰ κἀκεῖσε χαρισαμένου, καταλείψας τὰ τοιαῦτα γενέθλια εἰς μνήμην αἰώνιον.

Ἐν τοῖς πλησίον τοῦ Ταύρου μέρεσι Κωνσταντῖνος ὁ μέγας ἐν τῷ θέρει ἀδεῶς διέτριβεν· ἔνθα Σεβήρου τοῦ υἱοῦ Κάρου ὑπῆρχε παλάτιον, καὶ ναὸς εἰδώλων θεοῦ Σεβήρου ὀνομαζόμενος· ἔνθα καὶ τέσσαρες συνθεταὶ καμάραι παμμεγέθεις καὶ αὐταὶ ὑπὸ B Σεβήρου κατασκευασθεῖσαι, πολλὰς μαντείας εἰς χρῆσιν αἰωνίων θεῶν μακάρων καὶ θεῶν Βητγάμων ἔχουσαι εἴδωλα, ἀργυρᾶ τε καὶ χαλκᾶ καὶ ἐξ ἐλεφαντίνων καὶ μαρμάρων λόγος φέρει πολλῶν· ὡς εὔχε, φησίν, ἐν αὐταῖς ταῖς καμάραις· καὶ πόλεμος Κωνσταντίνου γέγονε, καὶ Σευῆρον τὸν Ἑρκούλιον ἐνίκησε, καὶ ἐν ταῖς καμάραις τὴν κεφαλὴν αὐτοῦ τε καὶ τῶν μεγιστάνων αὐτοῦ ἐπὶ ἑπτὰ ἡμέραις ἐκρέμασε· καὶ μετὰ ταῦτα τὰ εἴδωλα συγκλά- C σας εἰς μέρος, αὐτουργικὰ ὑπάρχοντα ἐκ τῶν αὐτῶν μαρμάρων, εἰς θέαν εἴασεν. ἐν αὐτῷ τῷ τόπῳ ἕως Ἰουλιανοῦ ἐτιμωροῦντο κατάδικοι. ἐν τῷ αὐτῷ τόπῳ ὑπερκειμένη πλὰξ εἰς μῆκος ἄγαν καὶ ζωδίοις ἀναγεγλυμμένοις τοὺς πολέμους Κωνσταντίνου ἕως τοῦ τρίτου σεισμοῦ προέκειτο δεικνύουσα. Κωνσταντίνου στήλη

clamantibus sacerdotibus "in infinita saecula eam prospere agere facito, domine." sic cum multo militum satellitio per dies quadraginta solennia celebrassent, imperatore copiosam plebi annonam elargiente, singuli domum abierunt. atque insequente luce urbis natalia peracta sunt, maioresque circenses editi, ubi etiam largissimam distributionem fecit imperator, eiusmodi natalia in aeternam rei memoriam celebranda relinquens.

In partibus Tauro vicinis Constantinus magnus aestate securus agebat; ubi Severi, Cari filii, palatium erat, ac templum idolorum, "dei Severi" nuncupatum; ubi etiam quattuor fornices maximi, alii aliis impositi, ab ipso Severo exstructi, in quibus, ut multorum narratu fertur, ad divinandi usum erant beatorum aeternorum deorum et deorum inferorum simulacra, argentea aenea eburnea et marmorea, quod, ut aiunt, in iisdem fornicibus vota conceperit; moxque conserto praelio Constantinus Severum Herculium vicit, atque in fornicibus eius procerumque ipsius capita ad septem dies suspendit; deindeque partim confractis idolis, alia iisdem ex marmoribus casu coaptata ad spectaculum reliquit. eodem autem loco usque ad Iuliani tempora rei plectebantur. ibidem tabula superposita longissima figuris insculpta ad tertium usque terrae motum stetit, bella Constantini declarans. illic item Constantini

ἐκεῖσε ἄνωθεν τῆς καμάρας τῆς πρὸς τὸ ἄνωθεν μέρος ἐτυποῦτο,
τὸ σημεῖον τοῦ σταυροῦ ἐν τῇ δεξιᾷ χειρὶ κατέχουσα.

D *Ἐν τοῖς Φιλαδελφίου τῆς καλουμένης πόρτης μέρεσιν ἐν-*
υπνιάσθη Κωνσταντῖνος. ἐκεῖ πρῶτον πάντων τὸν τύπον τοῦ
σταυροῦ ἐθεάσατο, τυπώσας αὐτὸν εἰς μῆκος καὶ πλάτος, ὡς
εἶδεν, ἐν κίονι πορφυρῷ τετραπλεύρῳ, χρυσώσας αὐτόν, καὶ
σημεῖον σπόγγου ἐν τοῖς ποσὶ τοῦ σταυροῦ ἀσφαλισάμενος. τῆς
μητρὸς Ἑλένης καὶ αὐτοῦ καὶ τῶν υἱῶν ἐξ αὐτοῦ τοῦ τετραπλεύρου
κίονος ἀνατυπώσας, εἰς θρόνους ἐτίμησε. πολλὰς ὑπατείας ὁ
E *μέγας Κωνσταντῖνος ἐν αὐτῷ τῷ τόπῳ πεποίηκεν. ἐν αὐτῷ δὲ*
τόπῳ ἐτιμήθησαν κεντυρίονες, διὰ τὸ τὸν σταυρὸν ἐν προτιμήσει
βαστάζειν γενόμενοι, ὑπεράνω τοῦ λαβάρου καταστήσαντες.

Πολλὰς Κωνσταντῖνος στήλας ἐν τῷ φόρῳ προέθηκε, μεθ'
ὧν καὶ ἐξ ἰδίας κατασκευῆς ἕως λ'. πρῶτον ὕπατος ἐν τῷ φόρῳ
F *Καλλίστρατος ἐτιμήθη· καὶ ἕως βασιλείας Κωνσταντίνου ὕπατοι*
κωδικέλλους ἐν τῷ φόρῳ ἐλάμβανον. ὁ δὲ Καλλίστρατος ὕπατος
μεγάλως ἐτιμήθη ἐν τῷ φόρῳ, ὡς πρῶτος τὴν ἀξίαν τοῦ ὑπάτου
δεξάμενος, τοῦ Πρασίνου μέρους βοῶντος "Καλλίστρατος εὐτυ-
P 100 *χής, καὶ εἰς ἄλλο προκόψει." ὁ δὲ φοβηθεὶς τὸ τοῦ ἁγίου ...*
τέμενος καταλαμβάνει, καὶ εἰσελθὼν ἐν αὐτῷ ἐζήτει ἄδειαν.
πολλὰ Κωνσταντῖνος τῷ Καλλιστράτῳ ἐξωμόσατο μὴ ἀδικῆσαι.

statua in superiori parte supremi fornicis effecta erat, crucis signum manu dextera tenens.

Ad portam quam Philadelphii vocant Constantinus in somnis visum habuit. illic primum omnium crucis figuram conspexit, quam ea qua viderat longitudine et latitudine confectam columnae porphyreticae quadrangulari deauratam imposuit, spongiaeque signum in crucis pede firmum reposuit; matris item Helenae, suam et filiorum imagines ex ipsa quadrangulari columna efformavit, ac thronis honoris causa imposuit. multa quoque Constantinus magnus eodem loco consularia munia obiit. ibidemque centuriones honore aucti, quod crucis in labaro gestandae praerogativa donati fuerant.

Multas in foro Constantinus statuas locavit; quibuscum etiam triginta reposuit ab se fabricatas. primus in foro Callistratus consul renuntiatus est; et usque ad Constantini imperatoris tempus codicillos in foro consules accipiebant. Callistratus vero consul magnificis in foro honoribus auctus, quod ibi primum consulari dignitate ornatus fuisset, Prasina factione clamante "Callistratus fortuna favente insuper ad aliud provehetur." ille vero perterritus ad sancti ...... templum se proripuit, eoque ingressus securitatem poposcit. multis vero se Constantinus iuramentis obstrinxit, nihil iniuriae accepturum illum esse. ille vero non

ὁ δὲ οὐκ ἠνέσχετο, καὶ χειροτονηθεὶς πρεσβύτερος τῆς ἐκκλησίας ἐξέρχεται· ὃς καὶ ἐπεσκόπησεν ὕστερον, ὅθεν μοι τὰ πολλὰ ἐμφέρεται διηγήματα.

Ἐν τῷ Ἱπποδρομίῳ ἀπετέθησαν εἴδωλα ἐκ τῆς Ῥώμης B ἥκοντα ὡσεὶ ξ', ἐν οἷς καὶ Αὐγούστου, ὡς οὐ γέγραπται μέν, λέγεται δέ, τὸ ὁμοίωμα.

Πολλὰ ἡμῖν διεβεβαιοῦτο Φίλιππος ἔπαρχος, ὅτι τὸ ἐν τῷ Ἱπποδρομίῳ ὑπάρχον ὁμοίωμα Θετταλὸν κατασκεύασμα ὑπάρχει C Ποντίου τινός, τὸ ἄνωθεν τῆς βασιλικῆς καθέδρας ἱστάμενον. ἐν δὲ τοῖς γυναικείοις ὁμοιώμασι τῶν Μήδων τοῦ ἐλεγίου αἱ γεννῶσαι θῆρας καὶ ἀνθρώπους ἐσθίουσαι. τὴν μὲν μίαν Ἡρωδίων μοι ἐτράνωσεν, Ἰουστινιανοῦ τοῦ ἀθέου δηλοῦσαν τὴν ἱστορίαν τὸ δεύτερον· ἐν οἷς καὶ πλοῖον ὑπάρχει μὴ πληρωθῆναι ἀλλὰ περιμένειν. ὅπερ ἀκούσας ἐδάκρυσα, εἰ ἄρα γε τοιοῦτον πάλιν τῇ Κωνσταντινουπόλει ἐπέλθῃ ἀλόγημα. Ἰουστινιανὸς ὁ μέγας D ἐν τοῖς τοῦ καθίσματος κατεπωχεῖτο ἐν ἵππῳ χαλκῷ μετὰ τὴν νίκην Μήδων. ἡ ἐν τῷ Ἱπποδρομίῳ καθεζομένη γυνὴ ἐν σελλίῳ χαλκῷ, καὶ αὕτη ἄνωθεν, ὡς προείπομεν, ὁ μὲν Ἡρωδίων ἐδίδαξε Βηρίναν εἶναι τοῦ μεγάλου Λέοντος· ὡς δὲ ἐγὼ παρὰ πλειόνων ἤκουσα, ἐξ Ἑλλάδος εἶναι τὸ εἴδωλον μᾶλλον τῆς Ἀθηνᾶς, ὅπερ καὶ ἐπίστευσα.

Πολλὰ Φίλιππος ἱστόρησεν ὁ δυνάστης μαθών, καὶ τοῦτο E παρέδωκεν, ὅτι τὸ δρακονταῖον Ἀρκαδίου μὲν ἐκτύπωμά ἐστιν,

acquievit, atque presbyter ordinatus ex ecclesia egreditur; qui etiam postea episcopus fuit. qua de re multa enarrari comperi.

In Hippodromo depositae sunt statuae Roma exportatae circiter sexaginta; in quibus Augusti, non quod scripta ulla monumenta habeant, sed ut ferunt, vera effigies.

Affirmabat Philippus praefectus ac certum esse narrabat simulacrum ex Thessalico marmore in Hippodromo supra imperatorium thronum constitutum opus esse Pontii cuiusdam. inter simulacra vero mulierum Elegii Medorum sunt, quae belluas gignunt et homines devorant. unam mihi Herodio explanavit, quae impii Iustiniani secundum imperatoris historiam referat. in quibus et navis est, non ut impleatur, sed ut exspectet. quo audito collacrimatus sum, mecum reputans num id etiam absurdi Cpoli contingere debeat. Iustinianus magnus in circi sedibus aeneo equo vehebatur post victoriam de Medis partam. mulier in Hippodromo in sede aerea sedens, eaque superiori loco, ut iam dictum est, ut quidem narrat Herodio, Verina magni Leonis uxor est; ut autem ego pluribus narrantibus audivi, statua est Minervae ex Graecia advecta, quod etiam verum arbitror.

Multa Philippus dynasta enarravit ut didicerat, draconis scilicet statuam Arcadii figuram esse, Honorii autem fratris eius Romae impe-

Ὀνωρίου δὲ ἀδελφοῦ αὐτοῦ ἐπίδειξις, ἐν Ῥώμῃ βασιλεύοντος. ἔνθεν καὶ χρησμοὶ καὶ πρὸ ἡμῶν καὶ ἕως τῆς δεῦρο οὐκ ὀλίγοι γεγόνασιν. ἡ δὲ ἄνωθεν τοῦ δρακονταίου ὕαινα ἀπὸ Ἀντιοχείας τῆς πρώτης εἰς Κωνσταντινούπολιν ἐλήλυθεν ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου, καθὼς ὁ προειρημένος Φίλιππος ἱστόρησεν.

Ἐν τῷ Ἱπποδρομίῳ πολλοὶ φόνοι καὶ κακὰ γεγόνασι, καὶ μάλιστα ἐν τοῖς πρὸ ἡμῶν· ἐν οἷς καὶ ἐφ' ἡμῶν Ἀναστάσιος ὁ μοναχὸς δι' ἀληθείας τρόπον ἀντιλέγων τῷ βασιλεῖ ἐκαύθη.

P 101 Εὐδοκίας Ἀθηναίας κατὰ μοῖραν δικασθείσης, κατὰ χάριν ηὕρατο τύχην, καθ' ἣν οἱ αὐτάδελφοι τὸ ξένον τῆς συγγόνου ἀκηκοότες εὐτύχημα ἀνελθεῖν συνεπειρῶντο φιλοσόφοις ζ', καὶ τῇ τύχῃ ἐξ ἀτυχίας ἐδεήθησαν ἱλασθῆναι. Θεοδόσιος δὲ ὁ βασιλεὺς εἰς τὸ ἱππικὸν ἥλατο, τοῖς φιλοσόφοις ἀρέσκων· καί τις αὐτῶν οὐκ ἐνέλησεν. ἦσαν δὲ τὸν ἀριθμὸν ζ', Κράνος Κάρος Πέλοψ Ἀπελλῆς Συλβάνος Κύρβος Νερούας. οὗτοι συνῆσαν εἰς τὸ ἱπ-
B πικὸν τῷ βασιλεῖ, θέας ἕνεκεν Ὀλυμπίων. ὁ δὲ βασιλεὺς Θεοδόσιος ὁρῶν τοὺς φιλοσόφους θαυμάζοντας ἔφη πρὸς αὐτούς "ὦ φιλόσοφοι, εἰ θαυμάζετε, κατεφιλοσοφήθητε." ὡς αὐτίκα ἀποκριθῆναι ἕνα ἐξ αὐτῶν, Ἀπελλῆν ὀνόματι, καὶ εἰπεῖν, μὴ θαυμάζειν ἐμὲ τοὺς ἵππους τῷ ἐπιβάτῃ, εἰδὼς ἀκριβῶς ὅτι ἵπποι ἀνθρώπων ἐπιβάται γενήσονται, ἀλλασσομένων τῶν Ὀλυμπίων, καὶ τὸ θαυμάζον ἀμβλωπιάσει. Νερούας δὲ ἀπεκρίνατο, κακὸν
C τῇ βασιλίδι στοιχεῖον ὁρῶ τῷ στοιχείῳ τῆς τύχης συντρέχοντα.

rantis praeferre speciem. unde item oracula pridem et ad hoc usque tempus non pauca exstiterunt. hyaena autem quae supra draconis statuam visitur, ex Antiochia veteri Cpolim, Constantino magno imperatore, ut memoratus Philippus refert, allata est.

In Hippodromo multae caedes plurimaque mala perpetrata sunt, maximeque temporibus quae nos praecesserunt; ubi aetate nostra Anastasius monachus ob veritatem imperatori repugnans crematus est.

Eudocia Atheniensis paternae causa hereditatis litem intentans, formae gratia fortunam invenit; cuius fratres, miram illam et novam sororis sortem audientes, cum philosophis septem adscendentes fortunae, ex infortunio ut sibi placaretur, supplicabant. Theodosius vero imperator in philosophorum gratiam ad Circum concessit, nemoque eorum eo pergere neglexit. erant autem numero septem, Cranus, Carus, Pelops, Apelles, Sylvanus, Curvus, Nerva. hi cum imperatore ludos in Circo spectandi causa aderant. Theodosius vero admiratione captos viros conspicatus sic eos alloquitur: "o philosophi, si miramini, victi in philosophia estis." tum ex illis unus Apelles dictus "non ego homines equorum ascensores miror, cum probe sciam fore ut equi hominum ascensores sint, mutato Olympicorum ordine, et quod admirationi est hebescet." Nerva dixit "malum regiae urbi signum video cum signo

καὶ Συλβάνος ὁρῶν τὸ πρὸς μεσημβρίαν ζώδιον, εἰς τὸ ἄνω τὸ γόνυ καμήλου δίκην κεκμηκότος, ἔφη "καλὸς ὁ στοιχειωσάμενος· καιροὶ γὰρ ἐπὶ τούτου ἀγόνατοι ἔσονται." ὁ δὲ Κύρβος ἐν τῷ δήμῳ ὁρῶν εἶπεν "ὦ δῆμε, δι' ὃν δήμιοι περισσεύσουσι." Πέλωψ δὲ τοὺς ὅρους τῶν ἵππων ὁρῶν εἶπε "τίνος τὸ πρόβλημα;" Θεοδοσίου δὲ φήσαντος "Κωνσταντίνου," εἰπεῖν ἐκεῖνον "ἢ φιλόσοφος ἄκυρος ἢ βασιλεὺς οὐκ ἀληθής." ἑώρα γὰρ Κράνος ὁ φιλόσοφος θηλύμορφόν τι ζώδιον, τετραμερέσι ζωδια- D *κοῖς γράμμασι γεγραμμένον, καὶ εἶπεν "ὦ τετραπέρατε, ἐξ οὗ ὁ Κωνσταντῖνος καὶ ἀπέρατοι ἔσονται." Κάρος δὲ προτραπεὶς παρὰ τοῖς φιλοσόφοις λαλῆσαι φησὶν "δυστυχῆ μοι τὰ πάντα φαίνεται, ὅτι εἰ ταῦτα τὰ στοιχεῖα, ὡς πειρῶνται, ἀληθεύουσιν, ἵνα τι ἡ Κωνσταντινούπολις συνέστηκε;" Κράνος δέ, ὅστις καὶ λογιστὴς τῆς Ἀθηναίων φιλοσοφίας ἐλέγετο, μειδιῶν ἐπεκοκκύα. τοῦ δὲ βασιλέως πυνθανομένου "τίς ἡ αἰτία;" ἀπεκρίνατο ἐναντία, τὸ πλεῖον γελῶν καὶ σκώπτων. Νάρκισσος δὲ πραιπόσιτος* E *δίδωσι τῷ φιλοσόφῳ ῥαπίσματα, εἰπὼν πρὸς αὐτόν "τῷ ἡλίῳ ὡς ἡλίῳ ἀποκρίνου, σκότος ὑπάρχων." τοῦ δὲ καὶ τὴν ἄλλην στρέψαντος, δίδωσιν ὁ Νάρκισσος. ὁ δὲ φιλόσοφος τῷ Ναρκίσσῳ ἔφη "οὐ διὰ σὲ λαλήσω, ἀλλὰ τοῖς γράμμασι δυσωπούμενος." τὸ δὲ πρόβλημα τοῦ Κράνου τοιοῦτόν ἐστιν. ἤτησε τὸν βασιλέα τὰ ἐν τῷ ἱππικῷ στοιχεῖα θεάσασθαι. εἵλετο εὐθὺς ἐκεῖνος. ἔστι δὲ ἀνδροείκελόν τι ἄγαλμα, ἐπικεφαλαίαν τῇ κε-*

fortunae concurrere." Sylvanus videns signum ad meridiem positum elato genu cameli instar fessi ait "praeclarus es, cuius hoc signum ac figura est: nam tempora aderunt queis genua desint." Curvus populum conspicatus dixit "o popule, cuius causa multi futuri carnifices." Pelops equorum metas intuens "cuius problema?" inquit. respondente Theodosio "Constantini," reponit ille "aut philosophus vanus aut imperator non verus." porro Carus muliebre quoddam signum videns quadratis Zodiaci figuris conscriptum, dixit "o quadritermine, ex quo Constantini infiniti emergent." idem autem Carus ut loqui pergeret a philosophis admonitus, ait "infortunata mihi omnia videntur, quia si haec signa, ut conantur asserere, vera dicunt, cur Cpolis consistit?" Cranus vero, qui et Atheniensis philosophiae logistes dicebatur, subridens coccyzabat. sciscitante autem imperatore quid causae esset, contraria respondit, multum ridens et cavillans. Narcissus vero praepositus philosopho alapas impegit, talia loquens "soli ut soli responde, qui tenebrae es." illo autem alteram maxillam tendente, alteram Narcissus dat alapam. philosophus vero Narcisso dixit "non tua causa loquar, sed quia figuris reverentiam habeo." Crani problema tale est. rogavit imperatorem ut sibi signa in Circo posita spectare liceret. ille propositionem accepit. est autem ibi virilis statua, galeato capite,

φαλῇ περιέχον, γυμνόν τοι ὅλως, καὶ ἐν τοῖς βρετγάνοις διδύ-
P 102 μοις ἐπικεκαλυμμένον. τοῦ δὲ φιλοσόφου πυθομένου "τίς ἂν"
ἔφη "ὁ στήσας;" ἔφη τις ἀναγνώστης ὅτι Οὐαλεντινιανὸς τοῦτο
προύθηκεν. εἶπεν δὲ ὁ φιλόσοφος "πότε καὶ τὸν ὄνον;" τοῦ δὲ
φήσαντος "ὁμοῦ," εἰπεῖν ἐκεῖνον "ὅτε ὄνος ὡς ἄνθρωπος ἔσται,
ὢ συμφορᾶς, ὅτι ἄνθρωπος ὄνῳ ἀκολουθεῖ. ἀλλὰ μὴ ἔστω."
τοῦ μάντεως τοῦτο τὸ πρόβλημα εὑρέθη ἐν τοῖς τόμοις τοῦ
Λέοντος τοῦ μεγάλου, ὃ ἐφιλοσόφησε Κράνος, παρὰ Λιγουρίου
B ἀστρονόμου καὶ ὑπάτου τοῦ αὐτοῦ βασιλέως Λέοντος.

Ἀσκληπιόδωρος ἐπὶ Ἀναστασίου ἰδὼν τὸ ζώδιον τὸ μέγα,
τὸ ἐν τῷ ἱππικῷ τὴν χεῖρα ἐπὶ τοῦ προσώπου κατέχον, ἔφη
"ὦ βία, ὅτι πᾶσα ἀνθρωπίνη ἔνδεια εἰς μίαν ἀνθρώπου φρό-
νησιν ζυμωθεῖσα." καί τις αὐτῷ ἐπέδειξε γράμματα ἐν τῷ
μαρμάρῳ· τοῦ δὲ ὑπαναγνόντος, ἔφη "ἀγαθὸν μὴ φθάσαι τοῖς
C τότε μέλλουσιν εἶναι, ὡς κἀμοί τι κέρδος τοῦ μὴ ἀναγνῶναι."

Δέον γινώσκειν ὅτι ἡ καλουμένη Ταῦρος Θεοδόσιός ἐστιν
ὁ μέγας· ἐν ᾗ ποτε ἐδέχετο ὁ βασιλεὺς τοὺς ἀπὸ τῶν ἐθνῶν
δυνάστας. ἀργυρέα δέ τις ἦν πρώην, ὡς ὁ Σωζομενὸς διδάσκει.
Κλήμης δὲ τὰς ὁμοίας καὶ πολυμόρφους μαρμαρίνας Κωνσταντίου
εἶναι φάσκει, τοῦ υἱοῦ Κωνσταντίνου.

D Ὁ Πιττάκης ὁ λεγόμενος Λέων ὁ μέγας ἐστίν, ὁ παρὰ
πολλοῖς Μακελάριος λεγόμενος. καθ' ἣν ... τὰ δεξήματα τῶν

8 pro *Λιγουρίου* scribe *Ὀλυβρίου*. consul autem fuit hic Olybrius anno octavo imperii Leonis Macelae, anno post Christum 464. *Lamb.*

nudo prorsus corpore, obtectis solummodo verendis. rogante philosopho quis statuam posuisset, respondit quidam lector Valentinianum posuisse. cui philosophus "quando etiam asinum?" ille vero "simul." tum philosophus "quando asinus ut homo erit, o calamitatem! quippe asinum homo sequitur. verum absit." vatis hoc problema in tomis Leonis magni, quod Cranus philosophus edidit, repertum est a Ligurio astronomo et viro primario eiusdem Leonis imperatoris.

Sub Anastasio Asclepiodorus conspicatus signum maius in Circo cogitantis more capiti admotam manum tenens, ait "o vim! quod omnis humana indigentia una hominis prudentia condiatur." cum autem ipsi aliquis literas marmori insculptas ostenderet, iis perlectis "optandum est" ait "ad ea quae tunc futura sunt non pervenire; adeoque mihi non legisse utilius fuisset."

Sciendum statuam Taurum dictam magnum Theodosium esse. ad eam olim imperator exteros dynastas excipere solebat. erat autem quondam argentea, ut docet Sozomenus; Clemens vero similes variaeque formae marmoreas Constantii Constantini filii esse ait.

Quam Pittacem statuam vocant, Leo magnus est, quem vulgo Macelam nuncupant, ad quam libellos supplices imperatores accipiebant.

βασιλέων ἐκεῖσε ἐγένοντο. ἀλλὰ καὶ παλάτιον ἦν ποτὲ συνιστάμενον, πλησίον παλαιᾶς ἐκκλησίας τῆς ἁγίας Εἰρήνης, καθὼς Ἰωάννης ὁ διακρινόμενος λέγει.

Δέον γινώσκειν ὅτι τὸ λεγόμενον Αὐγουσταῖον στήλας τρεῖς E *διαδέχεται, Κωνσταντίνου τοῦ πρῶτον ἐν ᾧ... καὶ βασιλικαὶ ἦσαν κάτω ε' τοῦ κίονος, Κωνσταντίνου Κώνσταντος καὶ Κωνσταντίου, Κωνσταντίας τε καὶ Λικινίου· ἀλλὰ καὶ ὕστερον Ἰουλιανοῦ. ἐπὶ Θεοδοσίου οὖν τοῦ μεγάλου στήλη ἑτέρα τῷ κίονι διαδέχεται, ἀργυρέα καὶ αὐτή. ἀλλὰ καὶ Ἀρκαδίου καὶ Ὁνορίου πρ... τῇ γῇ, ὡς ὁ Θεόδωρός φησι. ἐν δὲ τοῖς Σωζομενοῦ γράμμασι φησίν, Ἰουστινιανός ἐστιν ὃ νῦν καθορᾶται, τὸ μέγιστον τοῦ φόρου ζώδιον. καθά φησι Θεοδώρητος καὶ Εὐσέβιος,* F *ἐν οἷς δοκοῦσι σοράλεσθαι βιβλίοις, Ἕλληνος εἶναι στήλην, καθ' ἣν ἀφιερώσας ὁ μακάριος Κωνσταντῖνος δι' εὐχῆς ἔστησεν. ἐν δὲ τοῖς Ἀπολιναρίου καὶ Ἀλεξάνδρου συγγράμμασιν Κωνσταντίνου εἶναι τοῦ μεγάλου, καθὰ καὶ Μιλίχιος ὁ χρονογράφος ἐξηγήσατο.*

Ὁ τρίπους ὁ ἐν τῷ Στρατηγίῳ τῷ μεγάλῳ, καθὰ Προ- P 103 *μούντιος Ἀλέξανδρον λέγει εἶναι τὸν Μακεδόνα. ἐπίστατο δὲ καὶ ἐκ τῶν γραμμάτων, καὶ ὅσοι τοῖς γράμμασιν αὐτοῦ ἐμφιλοχωροῦσι, μάλιστα οἱ ταῖς μαντείαις στοιχειοῦντες, ἐπιγινώσκουσι τὸν Ἀλέξανδρον εἶναι. γράφει δὲ ὁ αὐτὸς καὶ Κωνσταντῖνον τὸν ἅγιον ἐκεῖ πρῶτον φόρον τῇ πόλει ταύτῃ ἀναστῆσαι.*

imo et palatium illic olim erat, proxime veterem ecclesiam sanctae Irenes, ut narrat Ioannes haesitans.

Sciendum est Augustaeum, ut vocant, tres successive statuas habuisse, Constantini primum ..... erantque subter columnam imperatoriae statuae quinque, Constantini scilicet Constantis et Constantii, Constantiae et Licinii; quin et postea Iuliani. sub Theodosio itaque magno statua alia primam excepit, quae argentea et ipsa erat; sed etiam Arcadii et Honorii ...., quemadmodum Theodorus ait. in scriptis vero Sozomeni dicitur Iustinianum esse qui nunc conspicitur, quae est maxima Circi figura. ut aiunt Theodoretus et Eusebius, quibus libris eorum videntur collectae sententiae, hominis Graeci esse statuam, quam beatus Constantinus fusis precibus dedicavit. in scriptis vero Apollinarii et Alexandri Constantini magni esse traditur, ut etiam Milichius chronographus enarrat.

Tripus qui in Strategio magno visitur, Alexander Macedo est, narrante Promuntio. id vero noverat ex perscriptis literis, itemque quotquot in eius versati sunt libris, maximeque qui divinationibus dant operam, eum pro Alexandro agnoscunt. refert idem scriptor sanctum Constantinum ibi primum forum urbi excitasse.

B *Τὸ καλούμενον Φιλαδέλφιν Κωνσταντίνου εἶναι τοῦ μεγάλου τοὺς υἱούς, ἀπὸ Γαλλίας τὸν ἕνα πρὸς τὴν Κωνσταντινούπολιν ἐλθόντα μετὰ τὸν θάνατον τοῦ πατρός, μεγάλης ὑπαντῆς καὶ χαρᾶς γενομένης, ἀσπάσασθαι ἀλλήλους, καὶ παρευθὺ στήλας αὐτῶν ἀνεγεῖραι τῇ πόλει τὸ σχῆμα ὑποσωζούσας. Ἰουλιανοῦ δὲ στήλη καὶ Ἀναστασίας τῆς αὐτοῦ γαμετῆς, ἣν διὰ τὸ εἶναι* C *Χριστιανὴν ἐξέβαλε τῆς βασιλείας. αὐτὴ δὲ ἐν τῷ μοναστηρίῳ τῶν Προμούντου ἀπεκείρατο. αἱ δὲ αὐταὶ στῆλαι μέχρι τοῦ νῦν σώζονται ἐν τῷ Φιλαδελφίῳ.*

Ὁ λεγόμενος Ξηρόλοφος στήλην μὲν ἔχει, καθὼς ὁ διακρινόμενος λέγει, τοῦ μικροῦ Θεοδοσίου καὶ Βαλεντινιανοῦ κάτωθεν τοῦ κίονος καὶ Μαρκιανοῦ. σεισμοῦ δὲ γενομένου πεπτωκέναι στήλην, καὶ ὡς λόγος λέγει, ἀνελθεῖν τῶν ἑπτὰ κιόνων, D *καὶ ὑποστρέψαι Μαρκιανοῦ καὶ Βαλεντινιανοῦ ἐν τῷ τριβουναλίῳ.*

Ὁ λεγόμενος Νεώριος, ὁ καὶ Ἀρκάδιος, ὃν Κόνων ἐστοιχειώσατο, εὑρὼν τὸν τόπον πλείστοις πόνοις Κωνσταντίνου τοῦ μεγάλου πονηθέντα· ἐν ᾧ καὶ ἀγοραὶ τῶν θαλασσίων ἐμπορευμάτων πρώην ὑπῆρχον ἐκεῖ· ἐπὶ Ἰουστίνου δὲ μετεποιήθησαν εἰς τὸν Ἰουλιανοῦ λιμένα.

E *Ὁ Ζεύξιππος τὸ λουτρὸν Σεβῆρος καλεῖται· ὑπὸ Σεβήρου γὰρ ἐκτίσθη. σὺν αὐτῷ δὲ καὶ τὸ Ἱπποδρόμιον τὸ πρῶτον ἔλαβε κτίσμα ἐν ὀλίγῳ, καὶ Κωνσταντιαναὶ ὑπὸ Κωνσταντίνου τοῦ με-*

Quod vocant Philadelphium, aiunt esse filios Constantini magni, quorum alter ex Gallia post patris obitum Cpolim venit; magnusque et laetitia plenus occursus fuit, seseque illi mutuo amplexati sunt. statimque statuae illis in urbe erectae sunt, quibus haec spectacula repraesentarentur. Iuliani item et Anastasiae uxoris eius statuae, quam ille quod Christiana esset repudiavit: illa vero in Promunti monasterio detonsa est; illae, inquam, statuae hodieque in Philadelphio manent.

Quem vocant Xerolophum, Theodosii iunioris, haesitante auctore, statuam habet; itemque Valentiniani infra columnam et Marciani. terrae motu autem corruisse illam aiunt, utque vulgo dicitur, septem columnas conscendit; Marciani vero et Valentiniani statuae in campum tribunalis redierunt.

Neorius ita nuncupatus, qui et Arcadius, quem Conon, ubi locum plurimis Constantini magni laboribus excultum offendit, magice consecravit. in quo et maritimarum mercium fora antea erant; Iustino autem imperante in Iuliani portum translata sunt.

Zeuxippus balneum Severus appellatur, quippe a Severo aedificatum est. cum illo item Hippodromus paulatim aedificari coeptus est. Constantianae thermae a Constantino magno exstructae sunt, necnon

γάλου ἐκτίσθησαν, καὶ ἡ λεγομένη Φοῦσσα. στῆλαι δὲ πολλαὶ οὖσαι ἐν Κωνσταντιαναῖς διέπεσαν ἄξιαι θαύματος.

Ὁ ἀγωγὸς ὑπὸ Οὐάλεντος τοῦ Ἀρειανοῦ ἐκτίσθη, καθὼς F γράφει Θεόδωρος, ἡ βασιλικὴ κινστέρνη ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου. ἡ δὲ χαλκῆ στήλη ἡ ἐν τῇ βασιλικῇ κινστέρνῃ καθημένη Θεοδοσίου τοῦ μεγάλου ἐστίν. ἡ στήλη ἡ ὄπισθεν τῆς P 104 Μαγναύρας, κατὰ τὸ ἀνατολικὸν μέρος τοῦ Ἡλιακοῦ μετεώρου, Φωκᾶ ἐστί, καθ' ἣν ἐν τῷ ἑβδόμῳ ἔτει τῆς βασιλείας αὐτοῦ σπουδὴν πολλὴν περὶ τοῦ ἀνελθεῖν ἐπεδείξατο. μοναχὸς δέ τις ἐκ τῆς τοῦ ὁσίου Θεοδώρου τοῦ λεγομένου Συκεώτου μονῆς· κατὰ ταὐτὸν γὰρ καὶ ὁ μακάριος Θεόδωρος ἦν ἐν ταῖς ἡμέραις τοῦ αὐτοῦ Φωκᾶ, ἐπὶ Θωμᾶ τοῦ νέου πατριάρχου Κωνσταντινουπόλεως, ὃς καὶ σύνθεμα ἐποίησε, παρακαλέσας τὸν ὅσιον Θεόδωρον εἰπεῖν τῷ Φωκᾷ παύσασθαι ἐκ τῶν ἀκαίρων φόνων· ὃ καὶ B ποιήσας ὁ ὅσιος παρῄνει τῷ βασιλεῖ μὴ ἀπανθρώπως χρῆσθαι τοῖς ὑπηκόοις. ὁ δὲ βασιλεὺς ᾔτησε σημεῖον παρὰ τοῦ πατρὸς εἰς αὐτὸν γενέσθαι διὰ τὴν ποδάγραν, καὶ παύσασθαι τῶν πολλῶν φόνων. εὐξαμένου δὲ τοῦ ὁσίου ἐρρύθη τῆς νόσου. αὐτὸς δὲ οὐδὲ οὕτως ἐπαύσατο ἀποκτείνων. ὁ δὲ προειρημένος μοναχὸς ἐθάρρησέ τινι περὶ τοῦ Φωκᾶ ὅτι μετὰ τὸν καιρὸν τοῦτον δεινῷ θανάτῳ θνήσκει, ἔτι φιλοσοφοῦντος Σεργίου τοῦ μετὰ τὸν C νέον Θωμᾶν ἐπισκοπήσαντος· αὐτὸς γὰρ καὶ τῷ μοναχῷ ἐθάρρησεν. ἔρχεται οὖν τοῦτο ἐν τοῖς ὠσὶ τοῦ βασιλέως Φωκᾶ, ἔτι

fossa, ut vocant. multae vero statuae mirabili forma, quae in thermis Constantianis erant, corruerunt.

Aquaeductus a Valente Ariano aedificatus est, uti scribit Theodorus. basilica cisterna a Constantino magno. aenea vero statua in basilica cisterna sedens Theodosii iunioris est. statua pone Magnauram, ad orientalem partem sublimis solarii, est Phocae, qui septimo imperii anno, multam in evehenda illa operam posuit. tum vero monachus quidam monasterii Theodori Syciotae (nam eodem tempore beatus Theodorus in vivis erat, Phoca principe, Thoma recentis memoriae Cpoleos patriarcha) evocato S. Theodoro consilium cum eo iniit, ut Phocae renuntiaret abstinendum esse ab immanibus illis caedibus: quod etiam vir sanctus praestitit, imperatorem cohortatus ne immiti adeo crudelitate subditis abuteretur. imperator vero, qui podagra laborabat, signum petiit a patre in se circa podagram exhiberi, quo peracto se a caedibus temperaturum ait. ac sancti viri precibus morbo ereptus est. at ne sic quidem ille desiit carnificinam exercere. memoratus autem monachus cuidam praedicere ausus est brevi fore ut Phocas dira morte periret, cum adhuc Sergius philosopharetur, qui post Thomam recentis memoriae episcopalem sedem nactus est; nam et ipse monacho detexit. ea vero fama ad aures Phocae imperatoris pervenit, cum adhuc columnae opus

τῆς στήλης ἐλαυνομένης· καὶ τοσαύτῃ σπουδῇ ἐχρήσατο περὶ τῆς ἀναβάσεως τῆς στήλης ὥστε, καθὼς οἱ τότε ἐξηγήσαντο, ἔτι καὶ ἔτι πλείω φόνους αὐτὸν πεποιηκέναι. ἀλλὰ καὶ χρήματα πάμπολλα τοῖς δουλεύουσιν ἐχαρίσατο πρὸς τὸ ταχῦναι. καὶ μετὰ ιη'
D *ἡμέρας τοῦ σταθῆναι τὴν αὐτὴν στήλην κατηνέχθη τῆς βασιλείας, οὐδὲν ἄμεινον ὧν ἔπραξεν ἀπενεγκάμενος ἢ τὸν πικρὸν θάνατον.*

Ἐν τοῖς Μαρτινακίου στήλη ἵστατο, ἐν ᾗ καὶ παράδοξον θέαμα γέγονε. σεισμοῦ γὰρ γενομένου, καὶ παντὸς τοῦ τόπου ἐκείνου ἀπὸ θεμελίου φθαρέντος, καὶ τῆς στήλης πεσούσης κάτω τοῦ κίονος, σταθῆναι αὐτὴν ὀρθήν, ὡς οἱ πρὸ ἡμῶν ἐξηγήσαντο· δοκιμασθείσης γὰρ τῆς στήλης εἰς τὸ ἀρχαῖον ἀνατεθῆναι, ἔμει-
E *νεν ἄχθος βαρύτατον ἔχουσα. τοῦτο δὲ ἔλεγον γενέσθαι ἕως πλειόνων καιρῶν. τὴν δὲ στήλην εὑρίσκομεν εἶναι Βαλεντινιανοῦ τοῦ νεωτέρου, ὥς τινα φιλόσοφον διασαφήσασθαι τότε διὰ τὸν ἄδικον θάνατον Βαλεντινιανοῦ τοῦ νεωτέρου σημειωθῆναι τὴν στήλην· ἕως γὰρ τότε δικαίαν ψῆφον ἀπένεμον τὸν θάνατον τοῦ Ἀετίου.*

F *Ἐκ τῆς λεγομένης Νικομηδείας στῆλαι πλεῖσται ἐν τῇ Κωνσταντινουπόλει ἥκασιν. ὅθεν καὶ Διοκλητιανοῦ ἐν τῷ Ἱπποδρομίῳ σώζεται ἕως τῆς δεῦρο, ἐπίκουφος οὖσα, ἀναμέσον τοῦ λεγομένου καθίσματος.*

P 105 *Μαξιμιανοῦ στήλη ἐν τοῖς τῆς Χαλκῆς μέρεσιν ὑπάρχει βαρυτάτη πάνυ. ἔνθα καὶ τὸ γένος ἅπαν Θεοδοσίου τοῦ Σπάνου καθορᾶται ἐν στήλαις ἕως τῆς σήμερον.*

promoveretur, in quod tanto usus studio est ut, sicut affirmarunt qui tum praesentes erant, plures alias ideo caedes perpetrarit: sed etiam multas effudit servis pecunias ut opus maturaret. post decimum octavum vero diem ab erecta statua imperio ipse deiectus est; quicum ea acerbitate actum, qua ipse usus fuerat: nam dira morte periit.

In tractu Martinacii erigebatur statua in qua stupendum contigit spectaculum. nam terrae motu facto, totoque loco a fundamentis pene everso, statua e columna delapsa recta stetit, ut maiores nostri rettulerunt: nam ubi tentatum est statuam pristinum in locum reponere, ex gravissimo pondere illa immota mansit. aiebant multo tempore ita se rem habuisse. statuam vero Valentiniani iunioris esse comperimus; ita ut quidam philosophus tunc renuntiaret ob iniquam Valentiniani necem conflatam statuam fuisse. eousque enim ob interfectum Aëtium iure sublatum fuisse putabant.

Nicomedia statuae bene multae Cpolim advectae sunt. ex quibus Diocletiani statua levis hactenus in medio imperatoris throni in Hippodromo servatur.

Maximiani statua in Chalces partibus longe gravissima visitur; ubi etiam tota Theodosii Hispani familia statuis hactenus repraesentatur.

Αἱ Γοργονίδαι λεγόμεναι τέσσαρες ἐκ τῆς Ἐφέσου ἥκασιν ἀπὸ τοῦ τῆς Ἀρτέμιδος ναοῦ· αἳ κατὰ τὸν σηκὸν τῆς Χαλκῆς περιφέρονται, ἔνθα καὶ σταυροῦ σημεῖον ἄνωθεν αὐτῶν ἵσταται.

Τῆς λεγομένης Ἀρτέμιδος ἡ στήλη ἐν τῷ Ἱπποδρομίῳ B ἵσταται, ἔνθα γυμνάζονται οἱ παλαίοντες.

Ἐν τῇ Χαλκῇ πύλῃ τοῦ παλατίου Ζήνωνος καὶ Ἀριάδνης τῆς σώφρονος ἔσχατον καὶ αἰσχρᾶς τὸ πρότερον ἐν κίοσιν ἵστανται πεζαὶ στῆλαι, ἰάμβους ἐλεγείους ἔχουσαι, παρὰ Σεκούνδου φιλοσόφου μερισθεῖσαι.

Ἡ στήλη ἡ πρὸς τὸ Ζεύξιππον θεωροῦσα, ἤτοι ἔμπροσθεν, C Ἰουστινιανοῦ καὶ Θεοδώρας ἐστί· καθ᾽ ἣν καὶ ἐδοξάσθη Ἰουστινιανός, ὅτε ἐτίθετο ἡ αὐτή, κράζοντος τοῦ Πρασίνου μέρους "Ἰουστινιανὸς καὶ Κωνσταντῖνος νέοι ἀπόστολοι·" ἐν οἷς καὶ Σοφία ἡ αὐτοῦ γαμετὴ παρὰ Πλουμβάτου φιλοσόφου ἰαμβικοῖς μέτροις τοὺς ἐπαίνους ἐδέξατο.

Ἡ ἐν τῷ παλαιοτάτῳ λουτρῷ ὑπάρχουσα στήλη ἐκ χρωμάτων D, ἤτοι τῷ Ζευξίππῳ, Φιλιππικοῦ τοῦ πρᾴου ἐστί, τοῦ κατ᾽ ἄγνοιαν πλανηθέντος. ὡς δ᾽ ἔχει ὁ λόγος, τοιοῦτον αὐτὸν εἶναι οἷον τὸ πρωτότυπον· μεγάλως γὰρ ἐπῄνεσαν οἱ ζωγράφοι τὸν γράψαντα, ὅτι οὐκ ἐχώρησε τὴν τοῦ βασιλέως μορφὴν πρὸς τὸ ἀρχέτυπον.

Ἐκ τοῦ λεγομένου Ἰκονίου στῆλαι ἥκασιν ἐν Κωνσταντινουπόλει E πλεῖσται, καθ᾽ ἣν καὶ τοῦ Διὸς ἐν τῷ Ἱπποδρομίῳ σώζεται.

Quattuor Gorgones, ut vocant, Epheso ex Dianae templo advectae sunt, in Chalces delubro locatae, ubi signum crucis iis imminens erigitur.

Dianae statua in Hippodromo erecta cernitur, ubi pugiles exercentur.

In Chalce palatii porta Zenonis et Ariadnes, quae cum prius impudica fuisset, casta demum evasit, pedestres statuae columnis impositae sunt, iambis tristibus a Secundo philosopho exornatae.

Statua ad Zeuxippum respiciens, quae scilicet e regione posita est, Iustiniani est et Theodorae; quam Iustinianus cum erigeret, faustis acclamationibus exceptus est, vociferante Prasina factione "Iustinianus et Constantinus novi apostoli." ubi etiam Sophia uxor eius a Plumbato philosopho iambicis versibus celebrata est.

Statua in vetustissimis thermis coloribus depicta, id est in Zeuxippo, Philippici mansueti est, qui ex ignorantia erravit; atque, ut vulgo fertur, talis est quale exemplar fuit. artificem quippe pictores magnis laudibus extulerunt, quod effigiem ab exemplari non discrepantem ediderit.

Iconio Cpolim plurimae statuae transmissae sunt, e quarum numero est illa Iovis, quae in Hippodromo superest.

Τὰ τέσσαρα ἱππάρια τὰ χρυσόβαφα, τὰ φερόμενα ἄνωθεν τοῦ Ἱππικοῦ, ἐκ τῆς Χίου νήσου ἥκασιν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ.

Ἐκ τοῦ προειρημένου Ἰκονίου Περσέως στήλη καὶ Ἀνδρο-
P 106 μέδης θυγατρὸς βασιλικῆς ὑπαρχούσης, ἣν οἱ μῦθοί φασι καί τις
τῶν ἱστορικῶν δίδοσθαι θυσίαν τῷ ἐκεῖσε ἐμφωλεύοντι δράκοντι.
οὕτως γὰρ ἦν ἐκ παλαιᾶς συνηθείας, δίδοσθαι παρθένον κόρην
τῷ θηρίῳ· καθ' ἣν Ἀνδρομέδα δεθεῖσα θανάτου αἰτία τῷ θηρίῳ
ἔμελλε δίδοσθαι. ὁ γοῦν προειρημένος Περσεὺς ἐκεῖσε ἥκων πύ-
θεται κλαιούσῃ τῇ Ἀνδρομέδῃ, τί ἂν εἴη δεδεμένη καὶ θρη-
νοῦσα. ἡ δὲ τὸ συμβὰν ἐξηγήσατο. τοῦ δὲ καθίσαντος ἧκε
B τὸ θηρίον. αὐτὸς δὲ Γοργόνης κεφαλὴν ἐν πήρᾳ κατέχων,
ὀπισθοφανῶς στραφείς, δείκνυσι τῷ θηρίῳ· ὅπερ ἰδὼν ἐκεῖνος
ἀπέψυξεν. ἐκλήθη οὖν Ἰκόνιον παρὰ Φιλοδώρου ἡ πόλις διὰ
τὸ ἡκέναι τὸν Περσέα καὶ σῶσαι τὴν Ἀνδρομέδαν. [φόνοις
ἀτύχημα τῇ πόλει ἐκ τοῦ ἥκοντος Περσέως.] ἦν δὲ ὄνομα τῇ
πόλει τὸ ἀπὸ γενέσεως Δορία· ἔπειτα ἐκλήθη Θρηνῳδία· παρὰ
δὲ Φιλοδώρου τοῦ λογιστοῦ, ἐκ τοῦ ἥκειν τὸν Περσέα, ἐκλήθη
Ἰκόνιον. ἔνθα ἐτελειώθη ὁ αὐτὸς Περσεὺς σὺν τῇ Ἀνδρομέδῃ.
C ἐπάνω δὲ τῆς πόρτης τῆς πόλεως ἐστηλώθη ἀμφότερα· καθ' ἣν
καὶ θυσίαι πολλαὶ γεγόνασιν ἐκεῖσε παρὰ Δεκίου καὶ Διοκλη-
τιανοῦ καὶ Μαξιμιανοῦ· ἔνθα πλεῖστοι ἅγιοι ἐμαρτύρησαν.
ἥκασιν οὖν τοῦ τε Περσέως καὶ Ἀνδρομέδας αἱ στῆλαι, ὡς

Quattuor illi equi deaurati, in supernis Hippodromi partibus collocati, ex Chio insula Theodosio iuniore imperante adducti sunt.

Ex Iconio supra memorata urbe Persei statua et Andromedae regiae filiae, quae, ut fabulose fertur et etiam a quodam historico proditum est, draconi illic in latibulis agenti victima data fuit. hic quippe mos olim erat, ut ferae virgo traderetur; quare vincta Andromeda draconi, cui mortis causa fuit, tradenda erat. memoratus vero Perseus cum istac haberet iter, lugentem Andromedam percontatur cur sic vincta lugeret. rem illa narrat ut contigerat. illo autem sedente fera irruit. tum Perseus Gorgonis caput, quod in pera habebat, retro conversus ferae ostendit. quo illa conspecto exspiravit. unde urbs a Philodoro Iconium vocata est, quia Perseus eo ivisset Andromedamque liberasset. nomen autem urbis a conditu suo Doria fuerat: hinc Threnodia nuncupata est, demum ab adventu Persei Iconium a Philodoro logista appellata fuit. in qua tum Perseus tum Andromeda mortem obierunt, quorum statuae supra portam urbis erectae sunt; quo loco multa a Decio Diocletiano et Maximiano oblata sunt sacrificia, ubi item sancti multi martyrio perfuncti sunt. advectae itaque sunt, ut fertur, Persei et

λόγος ἔχει, ἐπὶ Κωνσταντίου, μετὰ τὸ πληρωθῆναι τὴν Ἀντιοχέων ἐκκλησίαν.

Ἐν τῷ Κωνσταντιαναῖς λουτρῷ Ἀναστασίου στήλη ὑπάρ- D χει, ἡ ὄπισθεν τοῦ ἁγίου μάρτυρος Μηνᾶ, ἥτις στήλη ἐστάθη μετὰ τὸ παύσασθαι τὴν βοοθυσίαν τῶν εἰδώλων καὶ γενέσθαι πορνεῖον τὸν τόπον, τοῦ βασιλέως τοῦτο κελεύσαντος ἐπὶ τὸ ἀτιμασθῆναι τὸν τόπον.

Ἐν τῇ καλουμένῃ Ἀετίου κινστέρνῃ, ἥτις ὑπὸ Ἀετίου πατρικίου κτισθεῖσα ἐν ταῖς ἡμέραις Βάλεντος· ἔνθα ἡ στήλη αὐτοῦ τοῦ Βάλεντος ἐν τῇ κινστέρνῃ σώζεται, δορυφοροῦντος αὐ- E τὴν τοῦ Ἀετίου.

Ἡ λεγομένη Ἄσπαρος ὑπὸ Ἄσπαρος καὶ Ἀρδαβουρίου τῶν ἐπὶ Λέοντος τοῦ μεγάλου οἰκοδομεῖται· καθ' ἣν Ἄσπαρ καὶ Ἀρδαβούριος πληρωθείσης αὐτῆς τὸν ὄλεθρον ὑπομένουσι.

Τὴν λεγομένην Κράνον νῆσον ἐστοιχειώσατο Βηρίνα, καθ' F ἣν οὐδεμία εὑρίσκεται φροντίς, τίνος χάριν ταύτην στοιχειοῦται. ἐν δὲ τῷ στοιχειωθῆναι τὴν αὐτὴν νῆσον ἀθρόως θάνατοι γεγόνασι πλεῖστοι, ὅθεν ἐρημοῦται διαρκέσασα μέχρι τῶν χρόνων Ἰουστινιανοῦ τοῦ τρίτου, τὴν θάλασσαν προστάξαντος ἀναπλοῦσαι ἐν αὐτῇ εἰς τέλειον ἀφανισμόν.

19 ἀναπλῶσαι?

Andromedae statuae Constantio imperante, postquam Antiochena ecclesia absoluta est.

In Constantianis thermis Anastasii statua consistit, pone sanctum Menam martyrem, quae ibidem locata est, postquam boum sacrificia idolis fieri solita sublata sunt ac locus in lupanar versus fuit, ita iubente imperatore ad locum infamia notandum.

In cisterna quam Aëtii vocant, ab Aëtio patricio exstructa Valente imperatore, eiusdem Valentis statua visitur, adstante ac satellitium agente Aëtio.

Cisterna quae Asparis vocatur, ab Aspare et Ardaburio structa est, qui Leone magno imperatore vixerunt; qua absoluta Aspar et Ardaburius necati sunt.

Quam vocant Cranum insulam, Verina magice consecravit; nec ulla eius consecrationis ratio excogitari potest. dum autem magice consecratur, complures repente exstiterunt mortes; quamobrem deserta mansit usque ad tempus Iustiniani tertii, qui illam, ut penitus aboleret, mari obrui iussit.

ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

ΕΚΦΡΑΣΙΣ ΤΗΣ ΕΝ ΤΟΙΣ ΒΑΣΙΛΕΙΟΙΣ ΝΕΑΣ ΕΚΚΛΗΣΙΑΣ

ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΘΕΟΤΟΚΟΥ,

ΥΠΟ ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΑΚΕΔΟΝΟΣ ΟΙΚΟΔΟΜΗΘΕΙΣΗΣ.

P 117 C Φαιδρὸν ὁρῶ τῆς παρούσης ἡμέρας τὸν σύλλογον, καὶ οἷον οὐκ ἄν τις ἀνθρωπίνῳ σπουδάσματι καὶ χωρὶς ἐπιπνοίας θείας συγκροτῆσαι κατισχύσειε. διὸ καὶ τερπνὰ τῆς χάριτος ὑποδέχομαι τὰ χαρίσματα, καὶ τῷ Χριστοῦ ποιμνίῳ ἐνευθηνουμένῳ καὶ χαίροντι συναγελαζόμενος ἐπαγάλλομαι, οὗ μέχρις ἡμῶν περιγραφο-

PHOTII PATRIARCHAE CONSTANTINOPOLITANI

NOVAE SANCTISSIMAE DEI GENITRICIS ECCLESIAE,

IN PALATIO A BASILIO MACEDONE EXSTRUCTAE,

DESCRIPTIO,

ANSELMO BANDURIO POST FRANC. COMBEFISIUM INTERPRETE.

Iucundum video praesentis diei coetum, qualem nemo humana opera studioque, nec nisi divini afflatu numinis, cogere valeat. quare suavia gratiae munera lubens excipio, ac laeto florentique Christi gregi coniunctus laetitia exsulto, gnarus alacritatem laetitiamque solennitatis huius

μένην τὴν τερπνότητα καὶ θυμηδίαν τῆς πανηγύρεως ἐπιστάμενος,
ἀλλ' εἰς αὐτὸν τὸν κοινὸν δεσπότην ἀναφερομένην εἰδὼς τὴν σεβα-
σμιότητα· λαμπρότης γὰρ πανηγύρεως ὅσον ἡμῶν τῶν πανηγυρι- D
ζόντων τὸ σεμνολόγημα, τοσοῦτον τῆς δεσποτικῆς ἀγάπης ἐναργῆ
παρέχεται τὰ γνωρίσματα. ὅταν δὲ μηδὲ τῶν ἐτησίως καὶ συνή-
θως ἐπιτελουμένων εἴη τὴν ἀνάμνησιν ἑορτάζουσα, ἀλλὰ και-
νήν τινα καὶ ἀρτιφανῆ τὴν εἰς θεὸν τιμὴν ἐγκαινίζουσα, πῶς οὐ
μᾶλλον ἔτι καὶ τὸν θεῖον ἔρωτα διαδειχθείη ἐκπυρσεύουσα καὶ
τὴν τῶν ἑορταζόντων κοσμιότητα καὶ τὸ κλέος ἐπιπλέον ἀναπτύσ-
σουσα; ἀλλὰ τίς ἡ τοσαύτη τοῦ πλήθους συνδρομὴ καὶ συνέλευ- E
σις; τίς ἡ πανήγυρις; τί τὸ συγκαλέσαν καὶ συγκινῆσαν ἡμᾶς
ἅπαντας; βούλεσθε εἴπω; ἢ καλὸν ἐκείνῳ παραχωρῆσαι καὶ εἰ-
πεῖν καὶ διδάξαι τῆς πανηγύρεως τὴν ὑπόθεσιν, τῷ χορηγῷ τε
ἅμα ταύτης καὶ σοφῷ γε ἀρχιτέκτονι. ἐκεῖνος γὰρ ἱκανὸς καὶ
λόγοις παραστῆσαι τὸ προκείμενον, ὃς τοὺς τύπους τῶν πραγμά- P 118
των ἐν τῇ ψυχῇ προενθέμενος ἀμίμητον ἔργον ἐπὶ γῆς πανσόφως
ὑπεστήσατο.

Λέγε τοιγαροῦν ἡμῖν, ὦ βασιλέων φιλοχριστότατε καὶ
θεοφιλέστατε καὶ πάντας τοὺς ἔμπροσθεν νικῶν τε ἅμα καὶ λαμ-
πρῶς φαιδρύνων τῇ κοινωνίᾳ τοῦ ἀξιώματος, λέγε προθύμους,
ὡς ὁρᾷς, τοὺς ἀκουσομένους ἔχων, ἐφ' ὅπερ ἡμᾶς συνεκάλεσας.
δεῖξον τοῖς λόγοις ἃ τοῖς ἔργοις προϋπέδειξας. ἆρα γὰρ πάλιν B
κατὰ βαρβάρων νίκας ἀναστήσας καὶ τρόπαια, οἷς πολλάκις ἄλ-
λοις ἐπ' ἄλλοις ἡμᾶς ἐδεξιώσω φιλοφρονούμενος, ἐπὶ τούτοις

non apud nos solum circumscriptam esse, sed eius venerationem ad communem usque dominum referri: nam solennitatis splendor quantum nobis celebrantibus gloriae confert, tanta praebet nostrae erga dominum dilectionis argumenta. quando autem non eorum quae annuo ritu peraguntur memoriam celebrat, sed novi cuiusdam recentisque deo collati honoris encaenia persolvit, quis non ardentiorem amoris flammam ostendat celebrantiumque ornatum et gloriam clarius explicet? at quis tantus multitudinis concursus, quis conventus, quae celebritas? quis nos omnes evocavit? quis concivit? vultis dicam? annon e re fuerit ei potius dicendi ac celebritatis causam explanandi remittere, qui eius auctor et sapiens architectus fuerit? ille quippe praesens argumentum opportunius recenseat, qui animo prius conceptis rerum formis inimitabile in terra opus sapientissime condidit.

Dicas igitur nobis, imperator Christi amantissime ac religiosissime, qui decessores omnes una et antecellis ac dignitatis consortio praeclare exornas, dicas auditoribus alacri, ut vides, animo adstantibus, qua de causa nos invitaveris. ostende verbis ea quae operibus praemonstrasti. num rursus devictis barbaris tropaea erexisti, qualibus nos frequentissime, amore nostri commotus, liberaliter excepisti, nosque convocasti

συνήγειρας εὐφρᾶναί τε ἅμα καὶ τῷ δεδωκότι τὴν νίκην κοινὴν καὶ πάνδημον ἀναπέμψαι τὴν εὐχαριστίαν; ἢ λαβὼν ὑποσπόνδους ἄλλους, καὶ ταπεινώσας ὑψηλὸν καὶ γαῦρον καὶ ἀλλόφυλον φρόνημα, ὡς ἐπὶ τὴν κραταιὰν χεῖρα τοῦ θεοῦ εὐσεβοφρόνως ἀναφέρων πάντα τὰ σοὶ κατορθούμενα; ἢ πόλεις ὑπηκόους τὰς C *μὲν πάλαι κάτω κειμένας ἀνορθώσας, τὰς δὲ καὶ ἐκ βάθρων αὐτῶν ἀνεγείρας, καὶ ἄλλων ἀνοικισμοὺς ἐργασάμενος, καὶ ταῖς πολιτείαις πυκνώσας τὰ ὅρια; ἢ πλουτῶν, καὶ ποιῶν εὐδαίμονας τὸ ὑπήκοον; δίδαξον ἡμᾶς, πρὸς σὲ τὸν κοινὸν τῆς οἰκουμένης ἀφορῶντας ὀφθαλμόν, ἐπὶ τίνι τούτων ἡμᾶς συνεκάλεσας; ἢ σιγᾷς μὲν αὐτὸς ἐπιεικείας τρόπῳ, καὶ τῷ μὴ βούλεσθαί σε τὰ σὰ ἡμῖν διηγεῖσθαι κατορθώματα, οἷς ἀνάγκη τοὺς ἐπαίνους συνυφαίνεσθαι· ἐμὲ δὲ παρέχεις ὑπηχῆσαι τῷ λόγῳ τοῖς σοῖς* D *ἔργοις ἐμπνεόμενον, τοῦ παρόντος συλλόγου τὸ αἴτιον;*

Ἄλλη τοιγαροῦν, ὦ φίλοι, τελετὴ καὶ ἄλλο μυστήριον σήμερον. ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον, καὶ τῆς θεομήτορος, εἴπερ ἄλλο τι τῶν ἐγκοσμίων, ἐπάξιον οἰκητήριον. ναὸς παρθενικὸς ἐπὶ γῆς ἐγκαινίζεται σήμερον, βασιλικῆς μεγαλοπρεπείας ἔργον ὡς ἀληθῶς πολυύμνητον. ναὸς ἐν μέσοις αὐτοῖς E *ἀνακτόροις, ἀνάκτορον ἄλλο θεῖον καὶ σεβάσμιον ἀνιστάμενος, καὶ τῇ πρὸς αὐτὸ παραβολῇ καὶ συγκρίσει ἰδιωτικὰς οἰκίας ἀποφαίνων τὰ ἀνάκτορα, μᾶλλον δὲ τῷ οἰκείῳ κάλλει καὶ τῇ ἐνούσῃ λαμπρότητι καὶ ταῦτα περιαστράπτων καὶ φαιδρύνων καὶ πολὺ*

ut una laetemur ac largitori deo communes gratiarum actiones referamus? an ut, cum alios dediticios acceperis, ac superbum et arrogantem alienigenarum animum depresseris, omnia praeclare gesta in robustam dei manum pie referas? an subditis urbibus, quae iamdiu collapsae iacebant restauratis, aliorumque domiciliis exstructis, imperii finibus vario praesidio munitis, an partis divitiis subditisque felicitate donatis? nos, quaeso, doceas, qui ad te communem orbis oculum respicimus, cuius tandem horum gratia nos invitaveris? an siles modestiae causa, quod praeclara gesta tua recensere nobis non lubeat, quibus laudes enarrare tuas in officio est; mihique praestas, ut gestis animatus tuis praesentis conventus causam celebrare possim?

Alia igitur, amici, solennitas, aliud hodierna die mysterium. virginalis in terra templi encaenia hodie peraguntur, deique matre dignum, si quod aliud in mundo, habitaculum consecratur: virginale templum in terra hodie dedicatur, imperatoriae magnificentiae opus, vere multis laudum canticis celebrandum. templum in medio ipso palatio, divinum nempe aliud venerandumque palatium excitatur, eiusmodi scilicet ut comparatione facta imperatoria ipsa palatia pro privatis aedibus habeas; imo vero ea qua pollet venustate et pulchritudine ea

παρασκευάζων τοῦ προτέρου κόσμου σεμνότερα. εἴποις ἂν εἰς αὐτὸν ἰδὼν οὐκ ἀνθρωπίνης χειρὸς ἔργον, ἀλλὰ θείαν τινὰ καὶ ὑπὲρ ἡμᾶς δύναμιν τὸ κάλλος αὐτῷ ἐπιμορφώσασθαι. προπύλαια μὲν γὰρ τῷ ναῷ περικαλλῆ διεσκεύασται· καὶ γὰρ μαρμά- F ρων διαλεύκων πλάκες λαμπρόν τι καὶ χάριεν ἀποστίλβουσαι, ὅλην ἐναπολαβοῦσαι τὴν πρόσοψιν, καὶ τὴν πρὸς ἀλλήλας θέσιν καὶ τὴν τῶν περάτων συνάφειαν τῷ ὁμαλῷ καὶ λείῳ, καὶ τῷ προσηρμόσθαι λίαν ἀποκρύψασαι, εἰς ἑνὸς λίθου συνέχειαν γραμμαῖς εὐθείαις ὥσπερ ἐπιγεγραμμένου, θαῦμα καινὸν ὁραθῆναι καὶ ἥδιστον, τὴν τῶν ὁρώντων φαντασίαν ὑπάγουσιν. ἐξ οὗπερ τὰς ὄψεις καὶ συνέχουσαι καὶ πρὸς ἑαυτὰς ἐπιστρέφουσαι οὐκ P 119 ἐθέλειν ποιοῦσι τὸν θεατὴν μεταχωρῆσαι πρὸς τὰ ἐνδότερα, ἀλλ' ἐν αὐτῷ τῷ προτεμενίσματι τοῦ καλοῦ θεάματος ὁ προσιὼν ἐμπιπλάμενος, καὶ τοῖς ὁρωμένοις ἐρείδων τὰ ὄμματα, ὥσπερ τις ἐρριζωμένος τῷ θαύματι ἕστηκεν. Ὀρφεῖ μὲν οἱ μῦθοι τῷ Θρᾳκὶ κιθάραν κροτοῦσι, κινοῦσαν τοῖς φθόγγοις τὰ ἄψυχα. εἰ δὲ καὶ ἡμῖν ἐξῆν εἰς μύθους ἀπαίρειν καὶ φοβερὰν ποιεῖν τὴν ἀλήθειαν, εἶπεν ἄν τις τοὺς προσιόντας τῷ προτεμενίσματι εἰς φυτῶν ἀποδενδρουμένους φύσιν τῷ θαύματι μεταβάλλεσθαι· οὕτως ἅπαξ B τις ἰδὼν δυσαποσπάστως κατέχεται.

Ἐπειδὰν δέ τις ἐκεῖθεν μόλις ἀποσπασθεὶς εἰς αὐτὸ παρακύψῃ τὸ τέμενος, ἡλίκης καὶ ὅσης οὗτος χαρᾶς τε ἅμα καὶ ταραχῆς καὶ θαύματος ἐμπίπλαται! ὡς εἰς αὐτὸν γὰρ τὸν οὐρανὸν

